41 Τὸ δὲ ι' ἐπί τε τῆς διὰ τῶν πόλων θέσεως σώζεται καὶ ἐπὶ τῆς λοξῆς πρὸς τὸν ἄξονα, μόνης δὲ αὐτὸς τῆς ἐπὶ τῆς λοξῆς θέσεως ἀποδείξεως ἐμνήσθη. ἡμεῖς δὲ προσαπεδείξαμεν σωζόμενον τοῦτο καὶ ἐπ' ἐκείνης τῆς θέσεως· ἐπὶ μέντοι τῆς ὀρθῆς πρὸς τὸν ἄξονα ἔφαμεν πῶς δὶς μὲν οὐκ ἔσται ὀρθὸς πρὸς τὸν ὁρίζοντα ὁ διὰ τῶν πόλων τῆς σφαίρας, ἀεὶ δέ.

42 Ἐπὶ δὲ τοῦ ια' θεωρήματος τὴν χαλεπωτέραν εἴληφε θέσιν τὴν λοξὴν πρὸς τὸν ἄξονα ἐν τῷ λέγειν "λοξὸς ὢν πρὸς τὸν ἄξονα" καὶ "μειζόνων ἐφάπτεται ἢ ὧν ὁ ἐξ ἀρχῆς ἐφήπτετο", ἐπιστάμενος τῆς διὰ τῶν πόλων θέσεως ὑπολειπομένης ῥᾳδίαν εἶναι τὴν ἀπόδειξιν· ἐδείξαμεν γὰρ ἡμεῖς πῶς καὶ ἐπ' ἐκείνης τῆς θέσεως κατὰ πάντα τόπον τοῦ ὁρίζοντος τοῦ μεταξὺ τῶν παραλλήλων ὧν ἐφάπτεται τάς τε ἀνατολὰς καὶ τὰς δύσεις ποιεῖται.

19. 20. προσαπιδείξαμεν σωζομένου τούτου ABS, corr. Hu   25. τὴν λοξὴν om. S   30. τοῦ (ante μεταξὺ) Hu pro τὸν

vatur; nam demonstravimus nos quidem etiam in positione quae est per polos theorema servari posse. Tamen in tertia positione servari non potest, quoniam illic neque oritur quidquam neque occidit.

Sed octavum theorema in una obliqua ad axem positione enuntiatur; nam in positione quae per polos sphaerae est quae puncta simul oriuntur, ea simul etiam occidunt, et quae simul occidunt, ea item simul oriuntur. Omnes enim illic circuli horizontem secantes ab eodem bifariam secantur semicirculosque et super horizontem et infra horizontem habent, ob eamque causam quae puncta simul oriuntur, ea simul etiam occidunt, et vice versa.

Similiter nonum theorema in eadem sola positione *scriptor* adsumit; vult enim circulos, qui eundem circulum tangunt, nullum alium tangere nisi eum qui semper conspicitur.

Decimum autem theorema et in ea positione quae est per polos et in illa quae obliqua ad axem est servatur; ipse tamen unius obliquae ad axem positionis demonstrationem commemoravit[1]. Nos autem praeterea demonstravimus idem etiam in altera positione servari. At vero in *tertia*, *videlicet* perpendiculari ad axem, exposuimus, quemadmodum circulus qui per polos transit non bis perpendicularis sit ad horizontem, sed semper.

Sed in undecimo theoremate[2] difficiliorem positionem obliquam ad axem adsumpsit sic dicens: "obliquus ad axem" et "maiores tangit quam quos primarius tangebat"[3], non ignorans positionis per polos, quam omisit, demonstrationem facilem esse. Etenim nos ostendimus, quemadmodum *circulus* etiam in illa positione per omnem locum horizontis, qui est inter eos parallelos quos tangit, et ortus et occasus efficiat.

1) *Ἐὰν ἐν σφαίρᾳ μέγιστος κύκλος λοξὸς ὢν πρὸς τὸν ἄξονα ὁρίζῃ τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανές, ὁ διὰ τῶν πόλων τῆς σφαίρας κύκλος ἐν μιᾷ περιφορᾷ τῆς σφαίρας δὶς ἔσται ὀρθὸς πρὸς τὸν ὁρίζοντα* Autol. prop. 10.

2) *Ἐὰν ἐν σφαίρᾳ μέγιστος κύκλος λοξὸς ὢν πρὸς τὸν ἄξονα ὁρίζῃ τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανές, ἄλλος δέ τις λοξὸς μέγιστος κύκλος μειζόνων ἅπτηται ἢ ὧν ὁ ὁρίζων ἅπτεται, κατὰ πᾶσαν τὴν τοῦ ὁρίζοντος περιφέρειαν τὴν μεταξὺ τῶν παραλλήλων κύκλων ὧν ἐφάπτεται τάς τε ἀνατολὰς καὶ τὰς δύσεις ποιεῖται.* Haec nos e codice Vaticano descripsimus, cum quibus convenit Auriae interpretatio; Dasypodius autem codice mutilato et lacunoso usus est.

3) Graeca *μειζόνων — ἐφήπτετο* recte quidem ad sensum, sed verbis liberius mutatis a Pappo citata sunt.

43 *Ἐπὶ δὲ τοῦ ιβʹ θεωρήματος φανερὸν ὅτι ἐπὶ μόνης τῆς λοξῆς θέσεως συμβαίνει τε καὶ ἁρμόζει.*

44 *[Δεῖ μέντοι καὶ τοῦτο μὴ ἀγνοεῖν ὅτι ὀρθοὶ μὲν πρὸς τὸν ἄξονα μέγιστοι κύκλοι πολλοὶ οὐ δύνανται ὑποστῆναι, εἷς δὲ μόνος καὶ μονογενής. διὰ δὲ τῶν πόλων τῆς σφαίρας καὶ λοξοὶ πρὸς τὸν ἄξονα ἄπειροι. καὶ οἱ μὲν διὰ τῶν πόλων τῆς σφαίρας πάντες στρεφομένης τῆς σφαίρας ἐφαρμόζουσιν ἑαυτοῖς, οἱ δὲ λοξοὶ πάντες μὲν οὐκέτι, ἐκεῖνοι δὲ μόνοι οἵτινες τοῦ αὐτοῦ τῶν παραλλήλων ἐφάπτονται (ὃς παράλληλος περὶ τοὺς αὐτοὺς πόλους ἐστὶ τῇ σφαίρᾳ καὶ ἔτι ὀρθὸς πρὸς τὸν ἄξονα). μήποτ' οὖν διὰ τοῦτο καὶ ὁ Αὐτόλυκος, ἀρχόμενος τὰ παρακολουθοῦντα ἴδια καὶ χαρακτηριστικὰ ἑκάστῃ θέσει ἐκτίθεσθαι, ἀπὸ τῆς ἁπλουστάτης καὶ πρώτης ἤρξατο θέσεως. αὕτη δέ ἐστιν ἡ τὸν μέγιστον κύκλον ἔχουσα ὀρθὸν πρὸς τὸν ἄξονα· μονογενὴς δὲ αὕτη ἐστὶν ἡ θέσις, ὡς ἔφημεν, καὶ μετακίνησιν οὐδ' ἡντινοῦν ἐπιδεχομένη. μετὰ δὲ ταύτην τὴν τῇ τάξει ἁπλουστέραν. αὕτη δέ ἐστιν ἡ διὰ τῶν πόλων τῆς σφαίρας, καθ' ἥν, ἔφημεν, ἄπειροι μὲν δύνανται κύκλοι γράφεσθαι διὰ τῶν πόλων τῆς σφαίρας, πάντες δ' ἑαυτοῖς ἐφαρμόζοντες διὰ τὸ τοὺς πόλους ἑστηκέναι καὶ μὴ μεταγίνεσθαι. ἡ δ' ἄλλη θέσις ἔχει μὲν ἐπί τινων τοῦτο, ὡς ἔφημεν, ἐπὶ δέ τινων οὐκ ἔχει· ταύτῃ οὖν ταύτην μὲν τρίτην τῇ τάξει ἔθηκεν, τὴν δὲ ἑτέραν ἐν δευτέρᾳ χώρᾳ κατέταξεν.]*

45 *κηʹ. Ταῦτα μὲν οὖν εἴρηται λόγῳ περιοχῆς, ζητεῖται δ' ἐν τῷ βιβλίῳ, ὅπερ ἀναγκαῖον παραμυθήσασθαι, πῶς τὰ μὴ ἔσω τοῦ ἄξονος ὄντα σημεῖα, ἀλλ' ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας, κύκλους γράφει συμπεριαγόμενα τῇ σφαίρᾳ. εἰ μὲν γὰρ τὰ σημεῖα εἱστήκει καὶ μὴ συμπεριήγετο τῇ σφαίρᾳ, πιθανὸν ἦν τὸ λέγειν ὅτι ἡ γραμμὴ ἡ γινομένη ἐν τῇ ἐπιφανείᾳ τῆς σφαίρας ὑπό τινος σημείου κύκλου ἐστὶν περιφέρεια, εἰ δ' αὖ πάλιν ἥ τε σφαῖρα ἐστρέ-*

4. initio *ΛΘʹ* add. A rec. (BS) 8 sqq.] totum caput 44 manifesta interpolatoris vestigia prodit 13. *ἐκτίθεσθαι* sic] A, *ἐκτίθεται* S, corr. B 21. *ἑστηκε|κέναι* A, prius *κε* expunxit prima manus *μετάγεσθαι* coni. *Hu* 25. *κηʹ* add. *Hu*

Denique duodecimum theorema in una obliqua positione *contingere et congruere apparet.*

[Neque tamen hoc ignorare licet, perpendiculares ad axem maximos circulos non plures constitui posse, sed unum tantum et una ratione genitum, per polos autem sphaerae aut ad axem obliquos infinitos *numero*. Et ii quidem qui per polos sphaerae transeunt, dum sphaera vertitur, ipsi inter se congruunt [1]; obliqui autem non item omnes, sed illi tantum qui eundem parallelum tangunt (qui quidem parallelus et eosdem cum sphaera polos habet et ad axem perpendicularis est). Hac igitur de causa, nisi fallimur, Autolycus, cum ea quae cuiusque positionis propria et peculiaria sunt exponere inceperit, a simplicissima et prima initium fecit; haec autem est, quae maximum circulum perpendicularem habet ad axem. Atque haec quidem positio, ut diximus, una ratione gignitur neque ullam mutationem recipit. Deinceps eam *positionem addit* quae superiori simplicitate proxima est; haec autem est per sphaerae polos, iuxta quam innumerabiles, ut diximus, circuli per polos sphaerae describi possunt, qui omnes propterea inter se congruunt, quod poli sphaerae stabiles et motus expertes sunt. Reliqua autem positio in aliis hoc *proprium* habet, ut diximus, in aliis non habet. Quapropter hanc tertiam ex ordine posuit et illam alteram secundo loco collocavit.]

XXVIII. Haec igitur summatim dicta sunt; sed illud in hoc libro quaeritur quod probare opus sit, quomodo puncta, quae non intra axem, sed in superficie sphaerae sunt, dum unà cum sphaera circumaguntur, circulos describant. Nam si puncta starent neque cum sphaera circumagerentur, facile fidem haberes ei qui lineam in superficie sphaerae ab aliquo puncto effectam circumferentiam circuli esse diceret; vel si rursus sphaera circumageretur in eaque punctum aliquod si-

[1] Id est, si unus quilibet ex his circulis, dum sphaera vertitur, ipse non moveatur, sed suo loco maneat, omnes reliqui ex ordine in circumactione sphaerae cum hoc congruunt.

φετο καὶ τὸ σημεῖον ὁμαλῶς ἐφέρετο κατ' αὐτῆς συμπεριαγόμενον αὐτῇ, ὑπολειπόμενον μέντοι ἢ ἐπεκτρέχον κατὰ τὰ αὐτὰ τῆς σφαίρας, καὶ οὕτως ἂν εἶχέ τινα λόγον. ὑπολειπόμενόν τε γὰρ τῆς σφαίρας ἐξ ἀνάγκης τόπους μεταμεῖβον κατὰ συνέχειαν ἂν γραμμήν τινα ἐγέννα ἐν τῇ ἐπιφανείᾳ τῆς σφαίρας, ἐπεκτρέχον δὲ τῷ αὐτῷ λόγῳ [κύκλον γράψειεν ἂν ἐν τῇ ἐπιφανείᾳ τῆς σφαίρας], μήτε δὲ ὑπολειπόμενον μήτε ὑπεκτρέχον, ἀεὶ δὲ τὸν αὐτὸν τόπον ἐπέχον ἐν τῇ σφαίρᾳ στρεφομένης αὐτῆς, θαυμαστὸν ἴσως ἂν δόξειεν πῶς κύκλον γράψειεν· ὀφείλει γὰρ τὸ γράφον περί τι γράφειν ἑστός, εἰ δὲ περὶ ὃ γράφει οὐχ ἕστηκεν, πῶς γράψει τὸ γράφον; πάντα μὲν οὖν τὰ ἐν τῇ σφαίρᾳ στρεφομένης αὐτῆς οὐχ ἕστηκεν, μόνος δὲ ὁ ἄξων ἕστηκεν, καὶ ἐπὶ τὸν ἑστῶτα ἀπὸ τοῦ φερομένου αἰεὶ σημείου κάθετος ἄγεται καὶ συμβάλλει τῷ ἄξονι δῆλον ὅτι κατά τι σημεῖον· δεῖ ἄρα τὸ σημεῖον καθ' ὃ συμβάλλουσιν ἀλλήλαις αἱ εὐθεῖαι ἑστηκέναι, ἐπεὶ καὶ ὁ ἄξων ἕστηκεν. καὶ ἐπεὶ τὸ μὲν σημεῖον ἐν τῷ ἄξονί ἐστιν, ἡ δὲ ἀχθεῖσα κάθετος ἐν τῇ σφαίρᾳ, στρεφομένης τῆς σφαίρας συμπεριάγεται μὲν ἡ εὐθεῖα μετὰ τοῦ ἑτέρου πέρατος τοῦ ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας, ἕστηκεν δὲ τὸ ἐπὶ τοῦ ἄξονος. ἀνάγκη οὖν συμπεριφερομένην ταύτην τὴν εὐθεῖαν σὺν τῇ σφαίρᾳ, καθ' ὃ μὲν φέρεται ἡ σφαῖρα κινουμένης αὐτῆς, καθ' ὃ δὲ πεπεράτωται ἑστώσης, καὶ μὴ μεταμειβούσης τὰ πέρατα, κατ' ἐπιπέδου φέρεσθαι. ἕστηκεν δ' ἐκεῖνο τὸ ἐπίπεδον, καθ' οὗ φέρεται [τοῦτο δὲ τὸ ἐπίπεδον οὐκ ἀλλαχόσε ἐστὶν ἢ ἐν τῇ σφαίρᾳ]. ἐπεὶ οὖν ἐπίπεδον ἑστὸς ὑπόκειται, καθ' οὗ φέρεται ἡ εἰρημένη εὐθεῖα, καὶ ἔστιν εἰλημμένα ἐπ' αὐτοῦ δύο τυχόντα σημεῖα [τὰ πέρατα τῆς φερομένης εὐθείας τό τε πρὸς τῷ ἄξονι καὶ τὸ ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας], δυνατὸν δέ ἐστιν ἐν ἐπιπέδῳ παντὶ κέντρῳ καὶ διαστήματι κύκλον γράφειν, δῆλον ὅτι ὁ κέντρῳ μὲν τῷ ἐπὶ τοῦ ἄξονος

3. ἂν add. *Hu* 6. 7. κύκλον — σφαίρας interpolatori tribuit *Hu* 11. ἑστώς ABS, corr. *Hu* 22. συμπεριφερομένης ταύτης τῆς εὐθείας ABS, corr. *Hu* auctore *Co* 23. ὃ δὲ *Hu* pro ἃ δὲ 25. φέρεται ἕστηκεν ἐκεῖνο ABS, corr. *Hu* auctore *Co* 26. 27. τοῦτο δὲ — σφαίρᾳ

mul conversum ferretur, sed id tardiorem aut celeriorem motum, quam sphaera[1], aequabiliter haberet, etiam sic *id quod propositum est* rationem aliquam haberet. Nam et, si tardius quam sphaera punctum procederet, necessario positiones suas continuo mutans lineam quandam in sphaerae superficie describeret, et, si celerius, eodem modo; at vero, si neque relinquatur neque praecedat semperque eundem locum in sphaera, dum haec convertatur, obtineat, iure mirum videatur, quomodo circulum describere possit. Nam id quod *lineam* describit in stabili aliqua *superficie* describat necesse est; sin id, in quo describitur, instabile est, quomodo id quod describit faciat lineam? Omnia quidem in sphaera *puncta*, dum haec convertitur, locum suum mutant praeter unum axem qui *immobilis* stat; itaque apparet ad eum axem a puncto quod circumfertur semper perpendiculares duci posse easque axi in aliquo puncto occurrere. Ergo, quoniam axis stat, etiam punctum, in quo illae perpendiculares concurrunt, stare oportet. Et quoniam id punctum in axe, recta autem perpendicularis in sphaera est, eius rectae, dum sphaera convertitur, id punctum, quod est in superficie sphaerae, simul convertitur, id autem, quod est in axe, stat. Itaque cum haec recta simul cum sphaera circumagatur et, quatenus sphaera convertitur, moveatur, quatenus autem *in ipso axe* terminum habet, loco suo stet, cumque eosdem semper terminos retineat, ipsam in plano circumagi necesse est. Hoc autem planum, in quo fertur, stabile est. Ergo cum stabile planum et in hoc ea quam diximus recta inque ea duo puncta quaelibet supposita sint, atque omni centro et intervallo circulum in plano describere liceat, apparet eum circulum, cuius centrum est punctum in axe, radius autem intervallum ab

1) Apparet *τῆς σφαίρας* a scriptore brevius dictum esse pro his: "quam circulus parallelus in sphaerae superficie, in quo id punctum est".

interpolatori tribuit *Hu*   27. *ἑστὼς* ABS, corr. *Hu*, item p. 528, 4   29. 30. *τὰ πέρατα — σφαίρας* interpolatori tribuit *Hu*   29. *φαινομένης* S   31. *ἐν* add. *Hu* auctore *Co*   32. *δῆλον ὅτι* A¹BS *σημείῳ διαστήματι δὲ τῷ ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας σημείῳ κύκλος γραφόμενος ἐν τῷ ἐπιπέδῳ γραφήσεται, ἐφ' οὗ ἡ εἰρημένη εὐθεῖα ἐφέρετο· τὸ ἄρα σημεῖον τὸ ἐπὶ τοῦ ἄξονος ἑστὸς αἴτιον ἐγένετο τοῦ κύκλον γραφῆναι ὑπὸ τοῦ ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας σημείου [ἀδύνατον γὰρ μὴ ἑστῶτός τινος αὐτὸν γραφῆναι]· οὐκ ἄρα δυνατὸν ἦν τὸ πρόβλημα γενέσθαι, εἰ μὴ κάθετος ἦν ἀχθεῖσα ἐπὶ τὸν ἑστῶτα ἄξονα.*

16 *[Καὶ τοῦτο δὲ δεῖ εἰδέναι ὅτι, ὅτε κάθετον ἄγει ἐπὶ τὸν ἄξονα καὶ ἐκβάλλει τὸ διὰ τοῦ ἄξονος καὶ τῆς καθέτου ἐπίπεδον, ὡς ἐπὶ ἑστηκυίας τῆς σφαίρας τοῦτο ποιεῖ. ἀμήχανον γάρ ἐστιν στρεφομένης τῆς σφαίρας κάθετον ἄξαι ἐπὶ τὸν ἄξονα· δεῖ γὰρ προϋποκεῖσθαι ἐπίπεδον, ἵνα ἐν τῷ ἐπιπέδῳ ὑπαρχούσης εὐθείας τε καὶ σημείου τυχόντος ἀπὸ τοῦ σημείου κάθετον ἀγάγωμεν ἐπὶ τὴν εὐθεῖαν. φερομένου δὲ τοῦ σημείου ἐν τῷ στρέφεσθαι τὴν σφαῖραν καὶ παριόντος ἀμύθητα ἐπίπεδα, τῆς δὲ εὐθείας ἑστώσης, οὐ δύναται κάθετος ἄγεσθαι ἐπὶ τὴν εὐθεῖαν, ὅταν δὲ καὶ τὸ σημεῖον στῇ καὶ ἡ εὐθεῖα, τότε νοουμένων αὐτῶν ἐν ἐπιπέδῳ δυνατὸν ἀπὸ τοῦ σημείου ἐπὶ τὴν εὐθεῖαν κάθετον ἀγαγεῖν.]*

17 *κθ'. Ὅτι δὲ ἡ ἀπὸ τοῦ τυχόντος σημείου τῶν ἐπὶ τῆς σφαίρας ἐπὶ τὸν ἄξονα κάθετος ἀγομένη ἐντὸς τῆς σφαίρας αὐτῷ συμπίπτει οὕτως δειχθήσεται.*

Ἔστω γὰρ σφαῖρα, ἧς ἄξων ὁ ΑΒ, πόλοι δὲ αὐτῆς τὰ Α Β σημεῖα, καὶ εἰλήφθω ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας τυχὸν σημεῖον τὸ Γ, καὶ ἤχθω κάθετος ἐπὶ τὴν ΑΒ· λέγω ὅτι ἐντὸς τῆς σφαίρας τῇ ΑΒ συμπίπτει.

Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, συμπιπτέτω αὐτῇ ἐκτὸς κατὰ τὸ Δ σημεῖον, καὶ ἔστω ἡ ΓΔ ἐπὶ τὴν ΑΒ κάθετος, καὶ εἰλήφθω τὸ κέντρον τῆς σφαίρας τὸ Ε σημεῖον, καὶ ἐπεζεύχθω ἡ ΕΓ. ἐπεὶ οὖν τὸ Ε σημεῖον κέντρον ἐστὶν τῆς σφαίρας, ἴση ἐστὶν ἡ ΕΓ τῇ ΕΔ· μείζων ἄρα ἡ ΕΔ τῆς

---

3. 6. *ἀδύνατον — γραφῆναι* et totum cap. 46 interpolatori tribuit *Hu* 16. στρέφεσθαι A² ex στέφεσθαι 22. κθ' add. *Hu*

eo puncto ad punctum superficiei, in eodem plano describi, in quo ea quam diximus recta ferebatur. Itaque punctum stabile in axe effecit, ut circulus a puncto quod est in superficie sphaerae describeretur. Ergo problema solvi non poterat, nisi ad stabilem axem recta perpendicularis deducta esset.

[Atque hoc etiam sciendum est, si quis rectam perpendicularem ad axem ducat et planum, quod per axem et eam perpendicularem transit, producat, id nisi stante sphaera fieri non posse. Nam dum sphaera convertitur, recta ad axem perpendicularis duci nequit. Necesse est enim planum antea suppositum sit, ut, cum in plano recta quaedam et quodlibet punctum sint, ab eo puncto perpendicularem ad illam rectam ducamus. Quodsi punctum unà cum sphaera conversa feratur et innumerabilia plana percurrat, illa autem recta stet, perpendicularis ad rectam duci non potest; at vero, si et punctum et recta stent, cum haec in uno plano cogitentur, ab eo puncto ad rectam perpendicularis potest duci.]

XXIX. Sed rectam, quae a quolibet in sphaera puncto perpendicularis ad axem ducitur, intra sphaeram axi occurrere sic demonstrabitur. Prop. 28



Sit enim sphaera, cuius axis $\alpha\beta$ et poli α β, et in superficie sphaerae quodlibet punctum γ sumatur, unde recta ad $\alpha\beta$ perpendicularis ducatur; dico hanc intra sphaeram ipsi $\alpha\beta$ occurrere.

Etsi non est, tamen, si fieri possit, occurrat extra *sphaeram* in puncto δ (sit igitur $\gamma\delta$ perpendicularis ad $\beta\alpha$), et sumatur sphaerae centrum ε, et iungatur $\varepsilon\gamma$. Iam quia punctum ε centrum sphaerae est, aequales sunt $\varepsilon\gamma$ $\varepsilon\alpha$: ita-

25. 26. πολλοὶ δὲ αὐτῆς τὰ *AB* A, corr. BS 30. καὶ — κάθετος interpolata potius quam a Pappo scripta esse videntur

ΕΓ. καὶ ἐπεὶ τρίγωνόν ἐστιν τὸ ΕΓΔ καὶ μείζων ἡ ΕΔ τῆς ΕΓ, καὶ γωνία ἄρα ἡ ὑπὸ ΕΓΔ γωνίας τῆς ὑπὸ ΕΔΓ μείζων ἐστίν. ὀρθὴ δ' ἡ ὑπὸ ΕΔΓ· μείζων ἄρα ὀρθῆς ἡ ὑπὸ ΕΓΔ· τριγώνου ἄρα τοῦ ΕΓΔ αἱ δύο γωνίαι δύο ὀρθῶν μείζους εἰσίν, ὅπερ ἀδύνατον· οὐκ ἄρα ἡ ἀπὸ τοῦ Γ ἐπὶ τὴν ΑΒ κάθετος ἀγομένη ἐκτὸς τῆς σφαίρας αὐτῇ συμπίπτει. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ κατὰ τὰ πέρατα τοῦ ἄξονος τὰ Α Β· ἐντὸς ἄρα· ἡ ἄρα ἀπὸ τοῦ Γ ἐπὶ τὴν ΑΒ κάθετος ἀγομένη ἐντὸς πίπτει τῆς σφαίρας, ὅπερ ἔδει δεῖξαι.

48 *λʹ. Ἐν τῷ δʹ θεωρήματι ὁ Θεοδόσιος ψευδογραφεῖται. ἀποδείξας γὰρ τὴν ΝΘ ἡμέραν μείζονα τῆς ΜΠ ἡμέρας ὑπενοήθη ὡσαύτως ἀποδείξειν ὅτι καὶ ἡ προγεγενημένη νὺξ τῆς ΝΘ ἡμέρας τῆς ἐπιγινομένης νυκτὸς τῇ ΜΠ ἡμέρᾳ ἐλάσσων ἐστίν.*



Ἔστω γὰρ ἡ πρὸ τῆς Ν ἀνατολῆς δύσις ἡ Ρ, καὶ κείσθω τῇ ΡΝ ἴση ἡ ΠΣ [καθ' ὑπόθεσιν, καὶ ἔστω ἐπὶ τοῦ ὑποκειμένου σχήματος γινόμενος ὁ λόγος]. εἰ μὲν οὖν ἐλάσσων ἦν [καὶ] ἡ ΝΘ τῆς ΜΠ, ἐγένετο ἂν αὐτῷ καὶ ὅλη ἡ ΝΔ ὅλης τῆς ΔΠ ἐλάσσων, καὶ αἱ παραλλαγαὶ τῶν ἴσων περιφερειῶν αἱ ΝΡ ΠΣ ὡσαύτως ἐπεραίνοντο. νυνὶ δέ, ἐπεὶ ἐλάσσων ἐστὶν ἡ ΘΔ τῆς ΔΜ μείζων δὲ ἡ ΘΝ τῆς ΜΠ, οὐκ ἔστιν φανερὸν ὅτι καὶ ὅλη ἡ ΔΝ ὅλης τῆς ΔΠ ἐλάσσων ἐστίν· δυνατὸν γάρ ἐστιν καὶ ἴσην γίνεσθαι καὶ μείζονα. μὴ οὔσης δὲ ἐλάσσονος τῆς ΔΝ οὐκέτι δυνησόμεθα λέγειν διότι ἡ ΝΡ περιφέρεια ἐν ἐλάσσονι χρόνῳ παραλλάσσει τὸ ἀφανὲς ἤπερ ἡ ΠΣ. ἔδει οὖν προδείξαντα

4. ἡ om. AB, add. S   7. δὴ A[1] ex δὲ   10. δεῖξαι *Hu* auctore Co pro *ποιῆσαι*   11. λ add. A rec. (BS)   ψευδογραφέεται (sic) A, ψευδογράφεται S, corr. B   12. τὴν ΝΘ B, post τὴν in A duae litterae paene evanidae, in S lacuna   14. τῇ ΜΠ ἡμέρας AB, τῆς μπ ἡμέρας S, corr. *Hu*   18. καθ' ὑπόθεσιν — 20. λόγος

que $\varepsilon\delta > \varepsilon\gamma$. Et quia in triangulo $\varepsilon\gamma\delta$ est $\varepsilon\delta > \varepsilon\gamma$, angulus etiam $\varepsilon\gamma\delta$ maior est angulo $\varepsilon\delta\gamma$. Sed *ex hypothesi* angulus $\varepsilon\delta\gamma$ rectus est; ergo angulus $\varepsilon\gamma\delta$ maior quam rectus; trianguli igitur $\varepsilon\gamma\delta$ duo anguli maiores sunt duobus rectis, id quod fieri nequit. Ergo recta, quae a γ ad $\alpha\beta$ perpendicularis ducitur, non extra sphaeram ipsi $\alpha\beta$ occurrit. Ac similiter demonstrabimus *eandem* non *occurrere* in axis terminis $\alpha\,\beta$; ergo intra *occurrit*. Itaque recta, quae a γ ad $\alpha\beta$ perpendicularis ducitur, intra sphaeram cadit, q. e. d.

IN THEODOSII LIBRUM I DE DIEBUS ET NOCTIBUS.

XXX. Theodosium in quarto theoremate *libri primi de diebus et noctibus*[1]) *quidam* falso interpretantur. Nam cum demonstravisset diem $\nu\vartheta$ maiorem esse die $\mu\pi$ *), consentaneum erat ab eodem demonstrari etiam noctem, quae diei $\nu\vartheta$ praecessit, minorem esse nocte, quae diem $\mu\pi$ secutura est.

Sit enim ϱ occasus ante ortum ν, et ponatur $\pi\sigma = \varrho\nu$ [ex hypothesi, et fiat ratiocinatio in figura supposita]. Si igitur $\nu\vartheta$ minor esset quam $\mu\pi$, ex illius ratione etiam tota $\nu\delta$ minor fieret quam tota $\delta\pi$, et permutationes aequalium circumferentiarum $\nu\varrho$ $\pi\sigma$ similiter perficerentur. Nunc autem, quoniam $\vartheta\delta$ minor quam $\delta\mu$ et $\vartheta\nu$ maior est quam $\mu\pi$, non apparet etiam totam $\delta\nu$ totâ $\delta\pi$ minorem esse. Nam fieri potest, ut et aequalis et maior sit. Quodsi $\delta\nu$ non minor sit, iam non licebit dicere circumferentiam $\nu\varrho$ minore tempore occultum *hemisphaerium* permutare quam $\pi\sigma$. Ergo a Theo-

1) Theodosii librorum duorum *περὶ ἡμερῶν καὶ νυκτῶν* propositiones edidit Dasypodius in "Sphaericae doctrinae propositionibus" (conf. supra p. 549 adnot. 1) p. 25—36; plenos "Theodosii Tripolitae de diebus et noctibus" libros in Latinum convertit Ios. Auria, Romae 1591. Sed de iis quae supra a Pappo disseruntur liquido iudicari non poterit ante quam Graecus contextus in lucem prodierit. Quem nos manibus tenemus, atque ex his schedis ea quae proxime sequuntur citamus.

*) *Λέγω δὴ ὅτι καὶ ἡ πρὸ τῆς Θ δύσεως ἡμέρα* (id est dies $\nu\vartheta$) *μείζων ἐστὶν τῆς μετὰ τὴν Μ ἀνατολὴν ἡμέρας* (id est die $\mu\pi$). Theodosius manu scriptus.

interpolatori tribuit *Hu* 24. *καὶ* del. *Hu* auctore *Co* 25. *ἐπεραίνοντο* AB[3] Paris. 2368, *ἐπερεύνοντο* B[1], *ἐπεραίνοντο* S τὸν Θεοδόσιον ὅτι αἰεὶ αἱ συντιθέμεναι περιφέρειαι τῶν νυκτῶν καὶ τῶν ἡμερῶν ἐπὶ τοῦ ΔΓ μέρους τῶν συντιθεμένων περιφερειῶν ἐπὶ τοῦ ΔΕ μέρους ἐλάσσονές εἰσιν, οὕτως ἐπιλέγειν ὅτι καὶ τὰ λοιπὰ δειχθήσεται ὁμοίως [ταῦτα ἐπὶ τοῦ ὑποκειμένου σχήματος].

49 λα΄. Ἡμεῖς δὲ τὸ παραλελειμμένον ὑπὸ τοῦ Θεοδοσίου ἀπεδείξαμεν ἀστρονομικώτατα τοῦτον τὸν τρόπον.

Ἀνατελλέτω γὰρ ὁ ἥλιος πρὸς τῷ Ζ, δυνέτω δὲ πρὸς τῷ Η, καὶ ἔστω ἐλάσσων ἡ ΔΖ τῆς ΔΗ, καὶ πάλιν ἔστω ἡ μὲν προγεγενημένη δύσις τῆς Ζ ἀνατολῆς ἡ Θ, ἡ δὲ προγεγενημένη ἀνατολὴ τῆς Θ δύσεως ἡ Ν, ἔτι δὲ ἔστω ἡ μὲν μετὰ τὴν Η δύσιν ἀνατολὴ ἡ Κ, ἡ δὲ μετὰ τὴν Κ ἀνατολὴν δύσις ἡ Λ, καὶ ἔστω ἡ μὲν ΖΘ νὺξ ἐλάσσων τῆς ΗΚ νυκτός, ἡ δὲ ΘΝ ἡμέρα μείζων τῆς ΚΛ ἡμέρας· λέγω ὅτι ὅλη ἡ ΔΝ ὅλης τῆς ΔΛ ἐλάσσων ἐστίν.

50 Εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν ἢ μείζων. ἔστω πρότερον ἴση. ἐπεὶ οὖν ἐλάσσων ἐστὶν ἡ μὲν ΔΖ τῆς ΔΗ ἡ δὲ ΖΘ τῆς ΗΚ, ὅλη ἄρα ἡ ΔΘ ὅλης τῆς ΔΚ ἐλάσσων ἐστίν. ἔστω οὖν αὐτῇ ἴση ἡ ΔΜ. ἔστιν δὲ καὶ ὅλη ἡ ΝΔ ὅλῃ τῇ ΔΛ ἴση· λοιπὴ ἄρα ἡ ΘΝ λοιπῇ τῇ ΜΛ ἴση ἐστίν. ἐπεὶ οὖν ὁ ἥλιος ἀνατείλας μὲν πρὸς τῷ Ν ἔδυνε πρὸς τῷ Θ, ἐν ᾧ ὁ ἥλιος τὴν ΘΝ διαπορεύεται, ἡ ΘΝ παραλλάσσει τὸ φανερὸν ἡμισφαίριον. ἐν ἴσῳ δὲ χρόνῳ ὁ ἥλιος τὴν ΝΘ διαπορεύεται καὶ τὴν ἴσην τὴν ΜΛ· ἐν ἴσῳ ἄρα ὁ ἥλιος τὴν ΜΛ διαπορεύεται καὶ ἡ ΘΝ παραλλάσσει τὸ φανερὸν ἡμισφαίριον. ἐν ἴσῳ δὲ ἡ ΘΝ παραλλάσσει τὸ φανερὸν καὶ ἡ ΛΜ (ἴσαι γὰρ οὖσαι ἴσον ἀπέχουσιν τῆς θερινῆς συναφῆς)· ἐν ἴσῳ ἄρα ὁ ἥλιος τὴν ΜΛ διαπορεύεται καὶ ἡ ΜΛ παραλλάσσει τὸ φανερόν. ἀλλ' ὁ μὲν ἥλιος τὴν ΜΛ διαπορεύεται ἐν τούτῳ τῷ χρόνῳ ἐν ᾧ ἑκατέραν τῶν ΜΚ ΚΛ διαπορεύεται, ἡ δὲ ΜΛ παραλλάσσει τὸ φανε-

5. ταῦτα — σχήματος interpolatori tribuit *Hu* 6. ΛΛ A[1] in marg. (BS) 10. προγεγενημένη post μὲν) A, corr. BS, item statim posthac 12. τὴν Η δύσις AB, τοῦ η δύσις S, corr. *Hu* auctore *Co* 17. ἡ ΖΛ δὲ ABS, corr. *Hu* 23. τὴν νθ B, τὴν ΗΘ AS

dosio primum demonstrari oportebat summas circumferentiarum noctium et dierum in parte $\delta\gamma$ *velut* $\delta\vartheta + \vartheta\nu$ semper minores esse quam summas circumferentiarum in parte $\delta\varepsilon$; tum vero idem addere debebat reliqua etiam similiter demonstratum iri.

XXXI. Nos autem id quod Theodosius omisit ratione plane astronomica demonstravimus hunc in modum.

Oriatur enim sol ad punctum ζ et occidat ad η, et sit Prop. 29
$\delta\zeta$ minor quam $\delta\eta$, ac rursus sit occasus, qui ortum ζ praecessit, ϑ, et ortus, qui occasum ϑ praecessit, ν, ac porro sit ortus, qui occasum η sequitur, $\varkappa$, et occasus, qui ortum $\varkappa$ sequitur, λ, et sit nox $\zeta\vartheta$ minor nocte $\eta\varkappa$, diesque $\vartheta\nu$ maior die $\varkappa\lambda$; dico totam $\delta\nu$ tota $\delta\lambda$ minorem esse.



Nam si non *minor sit*, aut aequalis est aut maior. Sit primum aequalis. Iam quia *ex hypothesi* $\delta\zeta$ minor est quam $\delta\eta$, et $\zeta\vartheta$ quam $\eta\varkappa$, tota igitur $\delta\vartheta$ minor est quam tota $\delta\varkappa$. Sit igitur ipsi $\delta\vartheta$ aequalis $\delta\mu$. Sed *ex hypothesi* etiam totae $\nu\delta$ $\delta\lambda$ aequales sunt: restat igitur $\vartheta\nu = \mu\lambda$. Iam quia sol, postquam ad ν ortus est, occidit ad ϑ, quo *igitur* tempore ipse circumferentiam $\nu\vartheta$ permeat, eo circumferentia $\nu\vartheta$ apertum hemisphaerium permutat. Aequali igitur tempore sol et circumferentiam $\nu\vartheta$ et ei aequalem $\mu\lambda$ percurrit; itaque aequali tempore et sol circumferentiam $\mu\lambda$ percurrit et circumferentia $\nu\vartheta$ apertum hemisphaerium permutat. Sed aequali tempore et $\nu\vartheta$ et $\mu\lambda$ apertum *hemisphaerium* permutant (quippe quae aequales sint et aequaliter ab aestivo contactu distent); aequali igitur tempore et sol circumferentiam $\mu\lambda$ percurrit et ipsa $\mu\lambda$ apertum permutat. Sed sol circumferentiam $\mu\lambda$ eodem tempore percurrit quo circumferentias $\mu\varkappa + \varkappa\lambda$, et $\mu\lambda$

ρὸν ἐν ᾧ ἡ μὲν ΜΚ ἀνατέλλει ἡ δὲ ΚΛ παραλλάσσει τὸ φανερόν· ἐν ἴσῳ ἄρα χρόνῳ ὁ ἥλιος ἑκατέραν τῶν ΜΚ ΚΛ διαπορεύεται καὶ ἡ μὲν ΜΚ ἀνατέλλει ἡ δὲ ΚΛ παραλλάσσει τὸ φανερόν. ὧν ἴσος ὁ χρόνος ἐν ᾧ ὁ ἥλιος τὴν ΚΛ διαπορεύεται καὶ ἡ ΚΛ παραλλάσσει τὸ φανερὸν [ἀνατέλλει μὲν γὰρ πρὸς τῷ Κ, δύνει δὲ πρὸς τῷ Λ]· καὶ λοιπὸς ἄρα ὁ χρόνος ἐν ᾧ ὁ ἥλιος τὴν ΜΚ διαπορεύεται ἴσος ἐστὶν τῷ χρόνῳ ἐν ᾧ ἡ ΜΚ ἀνατέλλει. τοῦτο δέ ἐστιν ἀδύνατον· πᾶσαν γὰρ περιφέρειαν ὁ ἥλιος ἐν πλείονι χρόνῳ διαπορεύεται ἤπερ αὐτὴ ἡ περιφέρεια ἀνατέλλει ἢ πάλιν δύνει τοῦτο γὰρ δείξομεν ἑχομένως)· οὐκ ἄρα ἴση ἐστὶν ἡ ΝΔ τῇ ΔΛ.

51 Ἔστω δὴ πάλιν μείζων ἡ ΝΔ τῆς ΔΛ, καὶ κείσθω τῇ ΔΝ ἴση ἡ ΔΞ, ἐτέθη δὲ καὶ ἡ ΔΘ ἴση τῇ ΔΜ· λοιπὴ ἄρα ἡ ΘΝ λοιπῇ τῇ ΜΞ ἴση ἐστίν, καὶ ἐν ἴσῳ χρόνῳ ὁ ἥλιος τὴν ΘΝ διαπορεύεται καὶ ἡ ΘΝ παραλλάσσει τὸ φανερόν. ἐν ᾧ δὲ ὁ ἥλιος τὴν ΘΝ ἐν τούτῳ καὶ τὴν ΜΞ, καὶ ἐν ᾧ ἡ ΘΝ παραλλάσσει τὸ φανερόν, ἐν τούτῳ καὶ ἡ ΜΞ· ἐν ἴσῳ ἄρα χρόνῳ ὁ ἥλιος τὴν ΜΞ διαπορεύεται καὶ ἡ ΜΞ παραλλάσσει τὸ φανερόν. ἀλλ' ὁ μὲν ἥλιος διαπορεύεται τὴν ΜΞ περιφέρειαν ἐν τούτῳ τῷ χρόνῳ ἐν ᾧ [ὁ ἥλιος] ἑκάστην τῶν ΜΚ ΚΛ ΛΞ διαπορεύεται, ἡ δὲ ΜΞ παραλλάσσει τὸ φανερὸν ἐν τούτῳ τῷ χρόνῳ ἐν ᾧ ἡ μὲν ΜΚ ἀνατέλλει ἡ δὲ ΚΛ παραλλάσσει ἡ δὲ ΛΞ δύνει [τὴν δὲ ΛΞ διαπορεύεται]. ἀλλ' ὁ χρόνος ἐν ᾧ ὁ ἥλιος τὴν ΚΛ διαπορεύεται ἴσος ἐστὶν τῷ χρόνῳ ἐν ᾧ ἡ ΚΛ παραλλάσσει τὸ φανερόν· καὶ λοιπὸς ἄρα ὁ χρόνος ἐν ᾧ ὁ ἥλιος τὴν ΜΚ διαπορεύεται ἴσος ἐστὶν τῷ χρόνῳ ἐν ᾧ ἡ ΜΚ ἀνατέλλει, καὶ ὁ χρόνος ἐν ᾧ καὶ ὁ ἥλιος τὴν ΛΞ διαπορεύεται ἴσος τῷ χρόνῳ ἐν ᾧ ἡ ΛΞ δύνει. τοῦτο δέ

5. 6. ἀνατέλλει — τῷ Λ interpolatori tribuit *Hu* (nam similia aliis locis tamquam consentanea Pappus omisit) 18. ἡ ΘΗ παραλλάσσει ABS, corr. *Co* 22. ὁ ἥλιος del. *Co* 25. τὴν δὲ ΛΞ διαπορεύεται del. *Co* 27. ὁ χρόνος — 30. ΛΞ δύνει] haec sine dubio corrupta sunt atque hunc fere in modum corrigenda: ὁ χρόνος ἐν ᾧ ὁ ἥλιος

eodem tempore apertum permutat, quo $\mu\varkappa$ oritur ac $\varkappa\lambda$ apertum permutat; aequali igitur tempore et sol circumferentias ~~$\mu\varkappa + \varkappa\lambda$ percurrit, et $\mu\varkappa$ oritur ac $\varkappa\lambda$ apertum permutat.~~ Sed tempus quo sol circumferentiam $\varkappa\lambda$ percurrit aequale est ei quo ipsa $\varkappa\lambda$ apertum permutat; ergo per subtractionem tempus quo sol circumferentiam $\mu\varkappa$ percurrit aequale est tempori quo $\mu\varkappa$ oritur. Sed id fieri non potest; nam omnem circumferentiam sol maiore tempore percurrit quam ipsa circumferentia oritur vel rursus occidit, id quod deinceps (*propos. 35*) demonstrabimus; ergo circumferentiae $\nu\delta$ $\delta\lambda$ non sunt aequales.

Iam vero sit $\nu\delta > \delta\lambda$, et ponatur $\delta\xi = \delta\nu$; atque posita erat etiam $\delta\mu = \delta\vartheta$; restat igitur $\mu\xi = \nu\vartheta$, et aequali tempore sol circumferentiam $\nu\vartheta$ percurrit et ipsa $\nu\vartheta$ apertum permutat. Sed eodem tempore sol circumferentiam $\nu\vartheta$ ac $\mu\xi$ percurrit; et quo tempore circumferentia $\nu\vartheta$ apertum permutat, eodem ipsa $\mu\xi$; ergo aequali tempore et sol circumferentiam $\mu\xi$ percurrit et ipsa $\mu\xi$ apertum permutat. Sed sol quidem circumferentiam $\mu\xi$ eodem tempore percurrit quo



ipsas $\mu\varkappa + \varkappa\lambda + \lambda\xi$; circumferentia autem $\mu\xi$ eodem tempore apertum permutat quo circumferentia $\mu\varkappa$ oritur ipsaque $\varkappa\lambda$ permutat ac $\lambda\xi$ occidit. Sed tempus quo sol circumferentiam $\varkappa\lambda$ percurrit aequale est ei quo $\varkappa\lambda$ apertum permutat; ergo per subtractionem tempus quo sol circumferentias $\mu\varkappa + \lambda\xi$ percurrit aequale est ei quo ipsa $\mu\varkappa$ oritur ac $\lambda\xi$ occidit.

ἑκατέραν τῶν *ΜΚ ΛΞ* διαπορεύεται ἴσος ἐστὶν τῷ χρόνῳ ἐν ᾧ ἡ μὲν *ΜΚ* ἀνατέλλει ἡ δὲ *ΛΞ* δύνει   30. post ἴσος add. ἐστι A, sed. del. prima m.

ἐστὶν ἀδύνατον (πᾶσαν γὰρ περιφέρειαν ὁ ἥλιος ἐν πλείονι χρόνῳ διαπορεύεται ἤπερ αὐτὴ ἀνατέλλει ἢ πάλιν δύνει, ὥστε οὐκ ἂν εἴη μείζων ἡ ΝΔ τῆς ΔΛ. ἐδείχθη δὲ ὅτι οὐδὲ ἴση· ἐλάσσων ἄρα ἐστὶν ἡ ΝΔ τῆς ΔΛ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἑξῆς δειχθήσεται. τούτων οὖν προδεδειγμένων προβήσεται καὶ ἡ τοῦ Θεοδοσίου ἀπόδειξις κατὰ τὸν εἰρημένον τρόπον.

52 λβʹ. Ὅτι δὲ πᾶσαν περιφέρειαν ὁ ἥλιος ἐν πλείονι χρόνῳ διαπορεύεται ἤπερ ἐκείνη ἡ περιφέρεια ἀνατέλλει ἢ πάλιν δύνει, νῦν δείξομεν. δόξει δέ τισι φανερὸν εἶναι τοῦτο καὶ μὴ προσδεόμενον ἀποδείξεως· "ἐπεὶ γὰρ ὁ μὲν ἥλιος ἐνιαυτῷ τὸν κύκλον διαπορεύεται, αὐτὸς δὲ ὁ κύκλος ἐν νυκτὶ καὶ ἡμέρᾳ ἀνατέλλει, γίνεται ὁ χρόνος ἐν ᾧ ὁ ἥλιος τὸν κύκλον διαπορεύεται πολλαπλάσιος τοῦ χρόνου ἐν ᾧ ὁ κύκλος ἀνατέλλει. ἐπεὶ οὖν ἐν μείζονι χρόνῳ ὁ ἥλιος τὸν ὅλον κύκλον διαπορεύεται ἤπερ αὐτὸς ὁ κύκλος ἀνατέλλει, καὶ τὰς κατὰ μέρος τοῦ κύκλου περιφερείας ἐν μείζονι χρόνῳ ὁ ἥλιος διελεύσεται ἤπερ ἐκεῖναι αἱ περιφέρειαι ἀνατελοῦσιν ἢ δύσονται. ὥστε φανερὸν τὸ προ-
53 κείμενον καὶ οὐ προσδεόμενον πλείονος ἐπισκέψεως". πρὸς οὓς ῥητέον διότι, εἰ μὲν αἱ κατὰ μέρος ἴσαι περιφέρειαι τοῦ ζῳδιακοῦ ἐν ἴσῳ χρόνῳ ἀνατέλλουσιν ἢ πάλιν δύνουσιν, συμφανὲς ἂν ἡμῖν ὑπῆρχεν τὸ λεγόμενον· αὐτός τε γὰρ ὁ κύκλος ὁμαλῶς ἂν ἀνέτελλεν καὶ οὕτως οἱ χρόνοι πρὸς ἀλλήλους συνεκρίνοντο, ἐπειδὴ καὶ ὁ ἥλιος ὁμαλῶς κινούμενος ἐν ἴσῳ χρόνῳ τὰς ἴσας περιφερείας διέρχεται. νυνὶ δὲ τοῦ μὲν ἡλίου ὁμαλῶς διαπορευομένου τὸν κύκλον, αὐτοῦ δὲ τοῦ κύκλου ἀνωμάλως τὰς ἀνατολὰς καὶ τὰς δύσεις ποιουμένου οὐκ ἐξέσται ἡμῖν λέγειν ὅτι, πλείονος ὄντος τοῦ χρόνου ἐν ᾧ ὁ ἥλιος τὸν κύκλον διαπορεύεται ἤπερ αὐτὸς ὁ κύκλος ἀνατέλλει, πλείων ἔσται ὁ κατὰ μέρος χρόνος ἐν ᾧ ὁ ἥλιός τινα περιφέρειαν διαπορεύεται ἐκείνου τοῦ χρόνου ἐν ᾧ ἐκείνη ἡ περιφέρεια ἀνατέλλει τε καὶ δύνει.
54 τούτων δὴ τοιούτων ὑπαρχόντων οὐκέτι πρόδηλον καθέστη-

8. ΔΛ A¹ in marg. (BS)   13. καὶ ἐν ἡμέρᾳ S   22. ζῳδιακοῦ

At hoc fieri non potest (namque, *ut statim diximus*, omnem circumferentiam sol maiore tempore percurrit quam ipsa oritur vel occidit); ergo non maior est $\nu\delta$ quam $\delta\lambda$. Sed eandem neque aequalem esse demonstravimus; ergo $\nu\delta$ minor est quam $\delta\lambda$. Idem similiter in reliquis ostendetur. His igitur praemissis Theodosii demonstratio ea qua diximus ratione procedet.

XXXII. Sed restat ut demonstremus omnem circumferentiam a sole maiore tempore percurri quam illa circumferentia oritur vel rursus occidit. Quamquam id nonnullis consentaneum esse neque demonstratione egere videbitur. "Quoniam enim sol annuo tempore circulum *zodiacum* percurrit, ipse autem circulus unius diei noctisque spatio oritur, tempus quo sol circulum percurrit multiplum est temporis quo circulus oritur. Iam quia sol maiore tempore totum circulum percurrit quam ipse circulus oritur, item particulares circuli circumferentias maiore tempore sol percurret quam illae orientur vel occident; quapropter id quod proponitur consentaneum est neque subtiliore inquisitione eget". Contra quos sic disserendum est: si particulares zodiaci circumferentiae, quae inter se aequales sunt, aequali tempore orirentur vel rursus occiderent, manifestum nobis esset id quod proponitur: namque et ipse circulus aequabiliter oriretur et tempora item inter se compararentur, quoniam sol, cum aequabiliter feratur, aequali tempore aequales circumferentias percurrit. Nunc vero, cum sol quidem circulum *zodiacum* aequabiliter percurrat, ipse autem circulus inaequabiliter ortus suos et occasus faciat, non licet nobis dicere, propterea quod sol maiore tempore circulum percurrat quam ipse circulus oriatur, particulariter tempus quo sol circumferentiam aliquam percurrit maius esse eo tempore quo illa circumferentia oritur vel occidit. Quae cum ita se habeant, nequaquam manifesto

ABS 23. ὑμῖν A, ἡμεῖν B, corr. S 24. ἂν add. *Hu* 26. διεξέρχεται S, item p. 538, 4. 6 29. ἔξεστιν coni. *Hu* 34. δή *Hu* pro δὲ κεν διότι πᾶσαν περιφέρειαν ὁ ἥλιος ἐν πλείονι χρόνῳ διαπορεύεται ἤπερ ἡ περιφέρεια ἀνατέλλει ἢ πάλιν δύνει. ~~πόθεν δὲ ὅτι οὐχὶ τὸν μὲν ὅλον κύκλον ἐν πλείονι χρόνῳ~~ διέρχεται ἤπερ αὐτὸς ὁ κύκλος ἀνατέλλει, οἱ δὲ κατὰ μέρος χρόνοι ἐν οἷς ὁ ἥλιος ἑκάστην περιφέρειαν τοῦ κύκλου διέρχεται, ἐλάττονές εἰσιν τῶν κατὰ μέρος χρόνων, ἐν οἷς ἑκάστη τῶν τοῦ κύκλου περιφερειῶν ἀνατέλλει; ὅτι γὰρ δυνατόν ἐστιν ἐπί τινων κινήσεων γίνεσθαι τοῦτο, φανερὸν ἐκ τούτου.

55 Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΔ ὀρθὴν ἔχον τὴν Β γωνίαν, καὶ ἑκατονταπλασία συναμφότερος ἡ ΔΑ ΑΒ τῆς ΑΒ, καὶ γεγράφθω περὶ κέντρον τὸ Α κύκλος, καὶ ἐκκείσθω



τις εὐθεῖα ἡ ΝΘ ἴση τῇ ΒΔ, καὶ διαπορευέσθω τὸ μὲν Ν σημεῖον ὁμαλῶς φερόμενον τὴν ΝΘ ἐν ὥραις δέκα, ἡ δὲ Β συμβολή, καθ' ὃ συμβάλλει ἡ ΑΒ τῇ ΒΔ, διαπορευέσθω τὴν ΒΔ ἐν ὥρᾳ μιᾷ, καὶ τετμήσθω ἡ ΕΗ περιφέρεια δίχα κατὰ τὸ Ζ, καὶ ἐπιζευχθεῖσα ἐκβεβλήσθω ἡ ΑΖΓ. ἐπεὶ οὖν ἐν ᾧ χρόνῳ τὸ Ε σημεῖον τὴν ΕΗ διαπορεύεται ἐν τούτῳ τῷ χρόνῳ τὸ Β τὴν ΒΔ διαπορεύεται, ἐν ᾧ δὲ τὸ Ε τὴν ΕΖ ἐν τούτῳ τὸ Β τὴν ΒΓ, καὶ ἔστιν ὁ χρόνος ἐν ᾧ τὸ Ε τὴν ΕΗ διαπορεύεται τοῦ χρόνου ἐν ᾧ τὸ Ε τὴν ΕΖ διαπορεύεται διπλάσιος, καὶ ὁ χρόνος ἄρα ἐν ᾧ τὸ Β τὴν ΒΔ διαπορεύεται τοῦ χρόνου ἐν ᾧ τὸ Β τὴν ΒΓ διαπορεύεται διπλάσιος. ἀλλὰ τὸ Β τὴν ΒΔ διέρχεται ἐν ὥρᾳ μιᾷ· τὸ Β ἄρα τὴν ΒΓ διελεύσεται ἐν ἡμιωρίῳ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΖ περιφέρεια τῇ ΖΗ, ἴση ἐστὶν ἡ ὑπὸ ΕΑΖ γωνία τῇ ὑπὸ ΖΑΗ· ὡς ἄρα συναμφότερος ἡ ΔΑ constat omnem circumferentiam a sole maiore tempore percurri quam ipsa circumferentia oritur vel occidit. Quid enim impedit quominus *statuamus* totum quidem circulum maiore tempore *a sole* percurri quam ipse circulus oriatur, particularia autem tempora, quibus sol singulas circuli circumferentias percurrit minora esse temporibus particularibus quibus singulae circuli circumferentiae oriuntur? Namque in quibusdam motibus hoc fieri posse ex hoc *lemmate* manifestum est.

Sit triangulum orthogonium $\alpha\beta\delta$ recto angulo β, sitque $\delta\alpha + \alpha\beta = 100\,\alpha\beta$, et circa centrum α describatur circulus $\varepsilon\zeta\eta$, et exponatur recta quaedam $\nu\vartheta = \beta\delta$, et punctum quidem ν aequabiliter procedens rectam $\nu\vartheta$ decem horis percurrat, punctum autem β, in quo scilicet rectae $\alpha\beta$ $\delta\beta$ concurrunt, ipsam $\beta\delta$ una hora percurrat, et circumferentia $\varepsilon\eta$ bifariam secetur in puncto ζ, et iuncta $\alpha\zeta$ producatur ad γ *punctum concursus cum recta* $\beta\delta$. Iam quia, quo tempore punctum ε circumferentiam $\varepsilon\eta$, eodem punctum β rectam $\beta\delta$, et quo tempore punctum ε circumferentiam $\varepsilon\zeta$, eodem punctum β rectam $\beta\gamma$ percurrit, et punctum ε circumferentiam $\varepsilon\eta$ duplo maiore tempore quam ipsam $\varepsilon\zeta$ absolvit[1], ergo etiam punctum β rectam $\beta\delta$ duplo maiore tempore quam ipsam $\beta\gamma$ percurrit. Sed *ex hypothesi* punctum β rectam $\beta\delta$ una hora permeat; itaque β rectam $\beta\gamma$ dimidia hora permeabit. Et quia circumferentiae $\varepsilon\zeta$ $\zeta\eta$ aequales sunt, est etiam Prop. 30

$$\angle\, \varepsilon\alpha\zeta = \angle\, \zeta\alpha\eta; \text{ ergo } \textit{propter elem. 6, 3}$$
$$\delta\alpha : \alpha\beta = \delta\gamma : \gamma\beta; \textit{ itaque componendo}$$

1) Statuit igitur scriptor punctum ζ in circumferentia $\varepsilon\eta$ ab ε aequabiliter procedens eodem tempore ad η pervenire quo punctum γ rectam $\beta\delta$ percurrit ita, ut, si spatia aequalibus temporibus in utraque linea emensa $\zeta\zeta'$ $\gamma\gamma'$, $\zeta'\zeta''$ $\gamma'\gamma''$ etc. notentur, semper rectae sint $\alpha\zeta'\gamma'$ $\alpha\zeta''\gamma''$ etc.

---

10. καὶ ἑκατονταπλασία — τῆς ΑΒ add. *Hu* auctore *Co* 12. εὐθεῖα ἡ ΝΟ AB, corr. S 13. τὴν ΝΟ AB, corr. S 15. περιφέρειαν A, corr. BS 22 initio. τὴν ΒΔ A¹B¹, τὴν ΕΔ A³B³S

ΑΒ πρὸς τὴν ΑΒ, οὕτως ἡ ΔΒ πρὸς τὴν ΒΓ. ἑκατονταπλασία δὲ συναμφότερος ἡ ΔΑ ΑΒ τῆς ΑΒ· ἑκατονταπλασία ἄρα καὶ ἡ ΔΒ τῆς ΒΓ. ἐὰν ἄρα ποιήσωμεν ὡς τὴν ΔΒ πρὸς ΒΓ, οὕτως τὴν ΘΝ πρὸς ΝΞ, ἔσται οὖν καὶ ἡ ΝΘ τῆς ΝΞ ἑκατονταπλασία. καὶ ἔστιν ἴση ἡ ΒΔ τῇ ΝΘ· ἴση ἄρα καὶ ἡ ΒΓ τῇ ΝΞ. ἐπεὶ οὖν τὸ Ν ὁμαλῶς κινούμενον διαπορεύεται τὴν ΝΘ ἐν ὥραις δέκα, τὸ ἄρα ἑκατοστὸν αὐτῆς μέρος ἐν ὥρας δεκάτῳ διελεύσεται, τὸ δὲ Β ἀνωμάλως κινούμενον διέρχεται τὴν ΒΓ ἐν ὥρας

56 *ἡμίσει. δύο οὖν ὑπαρχουσῶν κινήσεων καὶ τῆς μὲν ἀνωμάλου τῆς δὲ ὁμαλῆς, ὁ μὲν ὅλος χρόνος ἐν ᾧ τὸ Ν τὴν ΝΘ διέρχεται ὁμαλῶς τοῦ ὅλου χρόνου τοῦ ἐν ᾧ τὸ Β τὴν ΒΔ διέρχεται ἀνωμάλως πλείων ἐστίν, ὁ δὲ κατὰ μέρος χρόνος ἐν ᾧ τὸ Ν τὴν ΝΞ διέρχεται τοῦ κατὰ μέρος χρόνου ἐν ᾧ τὸ Β τὴν ΒΓ διέρχεται ἐλάσσων ἐστίν. ὥστε οὐθὲν ἀπέχει καὶ ἐπὶ τῆς τοῦ ἡλίου κινήσεως καὶ τῆς τοῦ κύκλου ἀνατολῆς τὸ αὐτὸ γίνεσθαι, τὸν μὲν ἥλιον ἐν μείζονι χρόνῳ διαπορεύεσθαι τὸν κύκλον, αὐτὸν δὲ τὸν κύκλον ἐν ἐλάσσονι ἀνατέλλειν, πάλιν δὲ ἐκ τῶν ἐναντίων τινὰς μὲν περιφερείας τοῦ κύκλου ἐν πλείονι χρόνῳ ἀνατέλλειν, τὸν δὲ ἥλιον αὐτὰς ἐν ἐλάσσονι χρόνῳ διέρχεσθαι· μειουμένου γὰρ τοῦ τάχους τῆς ἀνατολῆς τοῦ κύκλου, πόθεν ὅτι οὐχὶ μειοῦται ἐπὶ τοσοῦτον ὥστε τινὰ περιφέρειαν αὐτοῦ ἐν μείζονι χρόνῳ ἀνατέλλειν ἤπερ ὁ ἥλιος ἐκείνην τὴν περιφέρειαν διέρχεται;*

57 *λγ'. Δεῖ οὖν ἡμᾶς ἐπισκέψασθαι πότερόν ποτε τοῦ ζῳδιακοῦ τὸ τάχος τῶν ἐπ' ἄπειρον αὐξομένων καὶ ἐπ' ἄπειρον μειουμένων ἐστίν, ἢ τῶν ἐπ' ἄπειρον μὲν αὐξομένων οὐκ ἐπ' ἄπειρον δὲ μειουμένων, ἢ τῶν ἐπ' ἄπειρον μὲν μειουμένων οὐκ ἐπ' ἄπειρον δὲ αὐξομένων, ἢ οὔτε τῶν ἐπ' ἄπειρον μειουμένων οὔτε τῶν ἐπ' ἄπειρον αὐξομένων. ὅτι γὰρ περί τινα μεγέθη ταῦτα γίνεσθαι συμβαίνει, φανερὸν ἐκ τούτων.*

3. *ἄρα* add. S, *δὴ Hu* *ποιήσωμεν Hu* pro *ποιήσω οὖν* 4. *οὖν ἄρα* coni. *Hu* 7. *διαπορεύεται τὴν Hu* pro *ὑπόκειται τῇ* 11. 12. *τὸ*

$\delta\alpha + \alpha\beta : \alpha\beta = \delta\beta : \gamma\beta$. Sed *ex hypothesi* est $\delta\alpha + \alpha\beta = 100\,\alpha\beta$; ergo etiam $\beta\delta = 100\,\beta\gamma$. Si igitur fecerimus $\vartheta\nu : \nu\xi = \delta\beta : \beta\gamma$, erit etiam $\nu\vartheta = 100\,\nu\xi$. Et *ex hypothesi* est $\nu\vartheta = \beta\delta$; ergo etiam $\nu\xi = \beta\gamma$.

Iam quia *ex hypothesi* punctum ν aequabili motu rectam $\nu\vartheta$ decem horis permeat, centesimam igitur eius rectae partem horae decima parte percurret; punctum autem β, quod inaequabiliter movetur, rectam $\beta\gamma$ dimidia hora percurrit. Itaque cum duo sint motus, alter aequalis, alter inaequalis, totum quidem tempus, quo punctum ν rectam $\nu\vartheta$ aequabiliter percurrit, maius est toto tempore, quo punctum β rectam $\beta\delta$ inaequabiliter; sed particulare tempus, quo punctum ν rectam $\nu\xi$ percurrit, minus est particulari tempore, quo β rectam $\beta\gamma$ permeat. Quamobrem nihil impedit, quominus in solis motu et circuli *zodiaci* ortu idem contingat, *scilicet* ut sol circulum maiore tempore percurrat, ipse autem circulus minore oriatur, et rursus e contrario quaedam circuli circumferentiae maiore tempore oriantur, sol autem eas minore tempore percurrat. Nam si velocitas, qua circulus oritur, *magis magisque* imminuitur, quid impedit, quin adeo imminuatur, ut quaedam eius circuli pars maiore tempore oriatur, quam eandem sol percurrat?

XXXIII. Ergo nobis considerandum est, sitne zodiaci velocitas ex numero eorum quae in infinitum et augeantur et minuantur, an eorum quae in infinitum quidem augeantur, neque tamen in infinitum minuantur, an eorum quae in infinitum minuantur, neque tamen in infinitum augeantur, an eorum quae neque minuantur neque augeantur in infinitum. Etenim in quibusdam magnitudinibus ea contingere ex his apparet.

$\bar{N}$ τη *NO* A, τὸ $\bar{\nu}$ τὴν $\overline{\nu o}$ B, τὸ η τὴν $\overline{\eta \epsilon}$ S, corr. *Co* 15. ὥστε etc. — *ΙΓ* add. A¹ in marg. BS 18. δὲ το κύκλον A, corr. BS 26. ἐφ' huc transponit *Hu* (vide ad vs. 15) 27. ζωδιακοῦ ABS 28. τῶν ἐπ' ἀπείρων A, corr. BS 30. μὲν add. *Hu*

58 Παντὸς γὰρ τοῦ προτεθέντος μεγέθους μείζονα γίνεται καὶ πάλιν ἐλάττονα πάντα τὰ ἐπὶ τῶν ἀδιορίστων προβλημάτων γινόμενα.



Δυνατὸν γάρ ἐστιν περὶ τὴν δοθεῖσαν εὐθεῖαν παντὸς τοῦ παραβεβλημένου ἤδη χωρίου ὑπερβάλλοντος τετραγώνῳ μεῖζον χωρίον παραβάλλειν ὑπερβάλλον τετραγώνῳ καὶ πάλιν ἔλασσον, καὶ τοῦτο γίνεται ἐπ' ἄπειρον. ἐπὶ ταύτης οὖν τὸ μέγεθος τῆς παραβολῆς αὔξεται ἐπ' ἄπειρον καὶ πάλιν μειοῦται.

59 Τῶν δὲ ἐπ' ἄπειρον αὐξομένων οὐκ ἐπ' ἄπειρον δὲ μειουμένων ἐστὶν τὸ ἐπὶ τοῦ προγεγραμμένου τριγώνου γινόμενον.

Ἐὰν γὰρ ᾖ τρίγωνον τὸ ΑΒΓ, καὶ τμηθῇ δίχα ἡ ΑΓ κατὰ τὸ Ε, καὶ διαχθῇ ἀπὸ τοῦ Ε εὐθεῖα ἡ ΖΕΗ, ἔστι μεῖζον τὸ ΖΗΒ τρίγωνον τοῦ ΑΒΓ τριγώνου. καὶ πάλιν ἐὰν διαχθῇ ἡ ΘΕΚ, μεῖζόν ἐστι τὸ ΒΘΚ τοῦ ΖΒΗ τριγώνου. καὶ αἰεὶ διαγομένων ἐπ' ἄπειρον τῶν εὐθειῶν αὐξηθήσεται τὸ τρίγωνον. οὐδέποτε δὲ ἡ διαχθεῖσα εὐθεῖα ποιήσει τρίγωνον ἔλασσον τοῦ ΑΒΓ τριγώνου. τοῦτο οὖν τὸ μέγεθος αὔξεται μὲν ἐπ' ἄπειρον, μειοῦται δὲ οὐκέτι, ἀλλ' ἔστι τι μέγεθος τοῦ ΑΒΓ τριγώνου ἔλασσον ὃ οὐκ ἔσται τρίγωνον.

60 λδ'. Τῶν δὲ ἐπ' ἄπειρον μὲν μὴ αὐξομένων ἐπ' ἄπει-

---

7. ἐπὶ — 9. μειοῦται interpolatori tribuit *Hu* 11. γινόμενον B, γεινόμενον A²S 19. τοῦτο — 22. τρίγωνον interpolatori tribuit *Hu* 23. ΛΔ A¹ in marg. (BS)

Ex numero eorum quae in infinitum et augentur et minuuntur omnes magnitudines, quaecunque in problematis indeterminatis efficiuntur, vel maiores vel rursus minores sunt omni magnitudine proposita. Prop. 31

Si enim ad datam rectam, *velut* $\lambda\zeta o\alpha\delta$, constructum sit rectangulum $\alpha\beta\gamma\delta$ *maiore latere* $\alpha\delta$, eique additum quadratum $\alpha\beta\varepsilon\zeta$, fieri potest, ut maius rectangulum $\alpha\eta\vartheta\delta$ unà cum maiore quadrato $\alpha\eta\kappa\lambda$ construatur, et rursus rectangulum $\alpha\mu\nu\delta$, quod unà cum quadrato $\alpha\mu\xi o$ minus sit quam rectangulum $\alpha\beta\gamma\delta$ unà cum quadrato $\alpha\beta\varepsilon\zeta$*). Atque utrumque fit in infinitum.

Eorum vero quae in infinitum augentur, neque tamen in infinitum minuuntur, est hoc quod fit in triangulo adscripto. Prop. 32

Etenim si sit triangulum $\alpha\beta\gamma$, cuius latus $\alpha\gamma$ bifariam secetur in ε, et si, *producto latere* $\beta\alpha$, ducatur per ε *ad basim* recta $\zeta\varepsilon\eta$, triangulum $\zeta\eta\beta$ triangulo $\alpha\gamma\beta$ maius est[1]. Et rursus, si ducatur recta $\vartheta\varepsilon\kappa$, triangulum $\vartheta\kappa\beta$ maius est triangulo $\zeta\eta\beta$. Et semper *in productà* $\beta\alpha$ *aliis punctis remotioribus sumptis et per* ε rectis in infinitum ductis triangulum augebitur. Nunquam autem eiusmodi recta triangulum efficiet minus triangulo $\alpha\beta\gamma$**).

XXXIV. Eorum autem quae in infinitum minuuntur, ne- Prop. 33

*) Perspicuitatis causa figuram cum litteris addidimus ad eamque interpretationem verborum Graecorum, quae absque figurae ratione generaliter composita sunt, conformavimus. Ceterum conf. elem. 6, 29, Archim. de conoidibus et sphaeroid. prop. 8.

1) Ductà enim $\alpha\lambda \parallel \beta\gamma$, quia ex constructione est $\alpha\varepsilon = \varepsilon\gamma$, triangula $\alpha\varepsilon\lambda$ $\gamma\varepsilon\eta$ aequalia ac similia sunt; itaque $\Delta\, \alpha\varepsilon\zeta > \Delta\, \gamma\varepsilon\eta$; ergo etiam $\Delta\, \zeta\eta\beta > \Delta\, \alpha\gamma\beta$ (Co).

** Namque etiam, si, productà $\beta\gamma$, similiter rectae per ε ducantur, maiora triangula fiunt (Co).

ρον δὲ μειουμένων ἐστὶ τὸ ἐπὶ τῆς εὐθείας τῆς ἐναρμοζομένης εἰς τὸν κύκλον. οὐ γὰρ πάσης τῆς προτεθείσης δυνατόν ἐστιν μείζονα εἰς τὸν κύκλον ἐναρμόσαι. ἐπειδὴ γάρ ἐστιν ὡρισμένον μέγεθος τὸ τῆς διαμέτρου, ταύτης μείζονα εὐθεῖαν οὐ δυνατὸν ἐναρμόσαι· ἐπὶ μέντοι γε τὸ ἔλασσον δυνατόν ἐστιν γίνεσθαι ἐπ' ἄπειρον· πάσης γὰρ εὐθείας δυνατόν ἐστιν ἐλάσσονα ἐναρμόσαι.

Φανερὸν δὲ γίνεται τὸ λεγόμενον καὶ ἐκ τοῦ μὴ πᾶν τὸ δοθὲν παρὰ τὴν δοθεῖσαν παραβάλλεσθαι ἐλλεῖπον τετραγώνῳ· τὸ γὰρ παραβαλλόμενον χωρίον οὐκ ἐπ' ἄπειρον δυνησόμεθα αὔξοντες παραβάλλειν, ἐπειδή ἐστίν τι χωρίον, οὗ μεῖζον οὐκέτι δυνατόν ἐστιν παραβάλλειν· μειοῦντες μέντοι γε δυνησόμεθα παντὸς τοῦ προτεθέντος ἔλασσον παραβάλλειν. Θεωρεῖται γοῦν τοῦτο τὸ μέγεθος τῆς παραβολῆς ἐπ' ἄπειρον μὴ αὐξόμενον μειούμενον δὲ ἐπ' ἄπειρον.

61 *Τῶν δὲ μήτε ἐπ' ἄπειρον δυναμένων αὔξεσθαι μήτε ἐπ' ἄπειρον μειουμένων ἀλλ' ἐπί τινα μεγέθη ὡρισμένα, κατὰ πάντων τούτων ἐστὶν τὸ ὑπογεγραμμένον.*

Ἐὰν γὰρ ὦσι δύο κύκλοι ἐφαπτόμενοι ἀλλήλων κατὰ τὸ Α, ἄλλος δέ τις κύκλος τοῦ μὲν ἑνὸς ἐφάπτηται κατὰ τὸ Β, τὸν δὲ ἕτερον τέμνῃ κατὰ τὰ Γ Δ, καὶ ἀπὸ τῶν Γ Δ πρὸς τὰς ἁφὰς τῶν κύκλων κλασθῶσιν εὐθεῖαι αἱ ΑΔ ΓΑ ΒΓ ΒΔ, ἔστιν πασῶν τῶν κλωμένων γωνιῶν πρὸς τὴν περιφέρειαν τοῦ ΒΕΑΖ κύκλου μεγίστη μὲν ἡ ὑπὸ ΓΑΔ, ἐλαχίστη δὲ ἡ ὑπὸ ΓΒΔ. ἐπὶ τούτου οὖν τὸ μέγεθος τῆς γωνίας μειούμενον οὐκ ἐπ' ἄπειρον μειοῦται, ἀλλ' ἔστιν μέγεθος γωνίας ἧς ἔλασσον οὐκέτι δύναται γενέσθαι. καὶ πάλιν αὐξομένη ἡ γωνία οὐκ ἐπ' ἄπειρον αὔξεται, ἀλλ'

---

6. 7. *πάσης — ἐναρμόσαι* interpolatori tribuit *Hu*   8. *Φανερὸν* — 14. *παραβάλλειν*] haec quoque interpolatori potius quam ipsi Pappo tribuenda esse videntur   11. *αυξον* sine spir. et acc. A, *αὔξοι* B, *αὔξον* S, corr. *Hu*   14. *Θεωρεῖται* — 16. *ἄπειρον* et 18. 19. *ἀλλ' ἐπὶ* — *τούτων* interpolatori tribuit *Hu*   26. *ἡ ὑπὸ* $\overline{\Gamma}\ \overline{B}\ \overline{\Delta}$ A, coniunx. BS   26. *ἐπὶ* — p. 546, 2. *γενέσθαι* interpolatori tribuit *Hu*   26. *τούτου* BS *τῶ* invito A

que tamen in infinitum augentur, est *problema* de recta quae in circulo construitur [1]. Neque enim, qualibet recta proposita, fieri potest, ut maior in circulo construatur. Nam quia diametri magnitudo definita est, recta diametro maior *in circulo* construi non potest; ad minus autem hoc fieri potest in infinitum.

Idem etiam inde apparet, quod ad datam rectam non quodvis datum *spatium*, deficiens quadrato, applicari potest. Namque, *ut Euclides docet elem. 6. 28*, spatium applicandum non in infinitum augere poterimus, quoniam est spatium aliquod, quo maius nullum aliud applicari possit: minuentes autem poterimus *spatium* minus omni proposito applicare.

Eorum denique quae neque augeri in infinitum neque minui possunt est id quod sequitur. Prop. 34



Si enim duo sint circuli in puncto α *extrinsecus* se tangentes, unum autem ex his alius circulus *intus* in puncto β tangat, alterumque in $\gamma\ \delta$ secet, et a $\gamma\ \delta$ ad contactus puncta $\alpha\ \beta$ anguli $\gamma\alpha\delta$ $\gamma\beta\delta$ ducantur, omnium angulorum, qui *ex* $\gamma\ \delta$ *ducti* vertices habent in circumferentia circuli $\beta\varepsilon\alpha\zeta$, maximus est $\gamma\alpha\delta$, minimus autem $\gamma\beta\delta$ *): *itaque un-*

[1] Quomodo eiusmodi recta ab uno diametri termino in circulo ducatur, docet Euclides elem. 4, 1, eadem quomodo diametro parallela. Pappus III propos. 48. Conf. etiam elem. 3, 7.

*) Nam si quilibet alii anguli, vertices in circumferentia $\beta\varepsilon\alpha\zeta$ habentes, velut $\gamma\zeta\delta$ $\gamma\vartheta\delta$ ducantur, facile demonstratur esse

$\angle\gamma\zeta\delta > \angle\gamma\eta\delta$, id est $> \angle\gamma\beta\delta$, et
$< \angle\gamma\alpha\delta$; atque item
$\angle\gamma\vartheta\delta > \angle\gamma\lambda\delta$, id est $> \angle\gamma\beta\delta$, et
$< \angle\gamma\kappa\delta$, id est $< \angle\gamma\alpha\delta$.

ἔστι τι μέγεθος γωνίας ὡρισμένον, ἧς μεῖζον οὐκέτι δύναται γενέσθαι.

62 *λε'. Τούτων οὖν προειρημένων ἀποδείξομεν νῦν ὅτι τοῦ ζῳδιακοῦ τὸ τάχος μειούμενον οὐδέποτε ἔλασσόν ἐστιν τοῦ τάχους τοῦ ἡλίου, ἀλλ' ἀεὶ τὴν τυχοῦσαν περιφέρειαν τοῦ ζῳδιακοῦ ὁ ἥλιος ἐν μείζονι χρόνῳ διέρχεται ἤπερ ἐκείνη ἀνατέλλει ἢ πάλιν δύνει.*



Ἔστω γὰρ ὁρίζων μὲν ὁ ΑΒ, θερινὸς δὲ τροπικὸς ὁ ΒΕΔ, ζῳδιακὸς δὲ ὁ ΔΘΛ, μέγιστος δὲ τῶν παραλλήλων ὁ ΚΝΜ, καὶ ἔστω ἡ ἀρχὴ τοῦ καρκίνου ἐπὶ τῆς δύσεως, καὶ ἀπειλήφθω τυχοῦσά τις περιφέρεια τοῦ ζῳδιακοῦ ἡ ΔΘ· λέγω ὅτι ἐν μείζονι χρόνῳ ὁ ἥλιος τὴν ΔΘ περιφέρειαν διέρχεται ἤπερ ἡ ΔΘ δύνει.

Γεγράφθω γὰρ διὰ τοῦ Θ μέγιστος κύκλος ἐφαπτόμενος τοῦ ἀρκτικοῦ ὁ ΘΞ. καὶ ἐπεὶ ἡ τῆς σφαίρας διάμετρος πρὸς τὴν τοῦ θερινοῦ κύκλου διάμετρον λόγον ἔχει δυνάμει ὃν τὰ χκθ' πρὸς τὰ φκθ' ἐπείπερ ἡ ἀπὸ τοῦ κέντρου τῆς σφαίρας ἐπὶ τὸ κέντρον τοῦ τροπικοῦ λόγον ἔχει μήκει πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ τροπικοῦ ὃν τὰ ι' πρὸς τὰ κγ'∠, ἐλάσσων ἄρα ἢ διπλασία ἐστὶν ἡ τῆς σφαίρας διάμετρος τῆς τοῦ τροπικοῦ διαμέτρου· ἡ ἄρα διπλασία τῆς διαμέτρου τῆς σφαίρας ἐλάσσων ἐστὶν ἢ τετραπλασία τῆς τοῦ τροπικοῦ διαμέτρου. ἡ δὲ διπλασία τῆς διαμέτρου τῆς σφαίρας πρὸς τὴν τοῦ ΒΕΔ κύκλου διάμετρον μείζονα λόγον ἔχει ἤπερ ἡ ΜΝ περιφέρεια πρὸς τὴν ΔΘ περιφέρειαν, ὡς ἔστι τῶν σφαιρικῶν τοῦ γ' βιβλίου θεωρήματι ιβ'· πολλῷ ἄρα ἐλάσσων ἐστὶν ἢ τετραπλασία ἡ
63 *ΜΝ περιφέρεια τῆς ΔΘ περιφερείας. καὶ ἐπεὶ τὸ τοῦ κόσμου τάχος τοῦ τοῦ ἡλίου τάχους μεῖζόν ἐστιν ἢ τετρα-*

guli intra positi, velut $\gamma\zeta\delta$ $\gamma\vartheta\delta$, *ultra hos terminos neque augeri possunt neque minui*[1]).

XXXV. His igitur praemissis iam demonstrabimus zodiaci velocitatem, quantumcunque imminuatur, nunquam solis velocitate minorem esse, sed quamlibet zodiaci circumferentiam a sole permeari maiore tempore quam illa ipsa oritur vel rursus occidit. Prop. 35

Sit enim horizon $\alpha\beta$, aestivus tropicus $\beta\varepsilon\delta$, zodiacus $\delta\vartheta\lambda$, maximus parallelorum $\varkappa\nu\mu$, et sit δ principium cancri in occasu, et abscindatur quaelibet zodiaci circumferentia $\delta\vartheta$; dico circumferentiam $\delta\vartheta$ a sole maiore tempore permeari quam ipsa $\delta\vartheta$ occidit.

Describatur enim per ϑ maximus circulus $\vartheta\xi$ arcticum *circulum* contingens, et quia quadratum diametri sphaerae ad quadratum diametri aestivi tropici proportionem habet 629 : 529 (quoniam recta a sphaerae centro ad tropici centrum *ducta* ad radium tropici proportionem habet 10 : 23), sphaerae igitur diametrus minor est quam dupla tropici diametrus[2]). Ergo dupla sphaerae diametrus minor est quam quadrupla tropici diametrus. Sed dupla sphaerae diametrus ad circuli $\beta\varepsilon\delta$ diametrum maiorem proportionem habet quam circumferentia $\mu\nu$ ad circumferentiam $\delta\vartheta$, ut est in *Theodosii* sphaericorum libri III theoremate 12; multo igitur circumferentia $\mu\nu$ minor est quam quadrupla circumferentia $\delta\vartheta$. Et quoniam mundi velocitas maior est quam quadrupla solis velo-

1) Ergo hoc quoque demonstratum esse scriptor supponit, esse $\angle\gamma\vartheta\delta > \angle\gamma\zeta\delta$, atque omnino angulum, cuius vertex in circumferentia $\alpha\zeta\beta$ (vel $\alpha\varepsilon\eta$) propior est puncto α, maiorem esse angulo, cuius vertex remotior.

2) Apparet proportionem diametri sphaerae ad diametrum tropici a scriptore sumi $= \sqrt{629} : \sqrt{529} = 25{,}08 : 23$; qua tamen ratione et hoc et reliqua quae supra posuit ex Ptolemaei tabulis (quibus sine dubio usus est) derivaverit, hic breviter explicari non potest.

3. λε̄ A¹ in marg. (BS) 4. ζωδιακοῦ A, ζωδιακοῦ BS, item vs. 6. 16 10. ζωδιακὸς A, ζωδιακὸς BS 13. ἔσται ἡ; ἔστω A coni. *Hu*

1) Scilicet ex constructione est $\angle \gamma\beta\delta < \angle \gamma\beta\varepsilon$; et recti sunt anguli δ ε; ergo $\angle \beta\gamma\delta > \angle \beta\gamma\varepsilon$.

$\cdot E\Delta$, eraso Δ, A 30. τοῖς $\overline{\Delta E}$ A, distinx. BS νίας. ὁμοίως δείξομεν ὅτι καὶ αἰεὶ ἡ ἔγγιον τῆς ὑπὸ ΑΒΓ γωνίας τῆς ἀπώτερον ἐλάσσων ἐστίν.

84 Λέγω δ' ὅτι ἴσαι δύο μόνον ἐφ' ἑκάτερα αὐτῆς συσταθήσονται.

Συνεστάτω πρὸς τῇ ΓΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ τῇ ὑπὸ ΔΒΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΓΒΖ, καὶ ἀπὸ τοῦ Γ ἐπὶ τὴν ΒΖ κάθετος ἤχθω ἡ ΓΖ, καὶ ἐπεζεύχθω ἡ ΑΖ. ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΓΒΔ γωνία τῇ ὑπὸ ΓΒΖ, ἔστιν δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΓΔΒ ὀρθῇ τῇ ὑπὸ ΓΖΒ ἴση, καὶ ἔστιν καὶ κοινὴ τῶν τριγώνων ἡ ΓΒ πλευρά, ἴση ἄρα ἡ μὲν ΒΔ τῇ ΒΖ, ἡ δὲ ΓΔ τῇ ΓΖ. καὶ ἔστιν ἡ ΑΓ κάθετος ἐπὶ ἑκατέραν τῶν ΔΓ ΓΖ· ἴση ἄρα καὶ ἡ ΑΔ τῇ ΑΖ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΒ τῇ ΒΖ, κοινὴ δὲ ἡ ΒΑ, καὶ ἔστιν βάσις ἡ ΑΔ βάσει τῇ ΑΖ ἴση, γωνία ἄρα ἡ ὑπὸ ΑΒΔ γωνίᾳ τῇ ὑπὸ ΑΒΖ ἐστὶν ἴση. ὁμοίως δὴ δείξομεν ὅτι τῇ ὑπὸ ΑΒΔ ἑτέρα οὐ συνίσταται ἴση.

Ἡ μὲν ὑπὸ ΑΒΓ ἄρα γωνία ἐλαχίστη ἐστίν, αἰεὶ δὲ ἡ ἔγγιον αὐτῆς τῆς ἀπώτερον ἐλάσσων, ἴσαι δὲ δύο μόνον ἐφ' ἑκάτερα αὐτῆς συνίστανται.

85 μθ'. Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ ΔΕΖ ἴσας ἔχοντα τὰς ΒΓ ΕΖ, καὶ τετμήσθωσαν δίχα αἱ ΒΓ ΕΖ τοῖς Η Θ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ ΔΘ, καὶ ἔστωσαν ἴσαι, καὶ ἡ μὲν ΑΗ κάθετος ἔστω ἐπὶ τὴν ΒΓ, ἡ δὲ ΔΘ μὴ ἔστω κάθετος ἐπὶ τὴν ΕΖ, καὶ ἔστω μείζων ἡ ΑΗ τῆς ΗΒ· ὅτι ἡ ὑπὸ ΒΑΓ γωνία μείζων ἐστὶν τῆς ὑπὸ ΕΔΖ.

Περιγεγράφθω περὶ τὸ ΑΒΓ τρίγωνον κύκλος ὁ ΑΒΓ, καὶ ἐκβεβλήσθω ἡ ΑΗ ἐπὶ τὸ Λ. ἐπεὶ μείζων ἐστὶν ἡ ΑΗ τῆς ΗΒ, καὶ ἔστιν διάμετρος ἡ ΑΛ, τὸ ἄρα κέντρον

1. η εγγειον (sine spir. et acc.) A, corr. B (τὸ ἔγγιον Paris. 2368, τὸ ἔγγιον S) 8. ἤχω ΗΓΖ A[1], θ add. A[2], ἡ ΓΖ distinx. BS 10. ὑπὸ ΓΒΖ ἴση ABS, corr. Co Sca 15. ΑΒΔ γωνία A, corr. BS 18. ἀεὶ AB, corr. S 19. εγγειον (sine spir. et acc.) A, corr. BS 21. ΜΔ A[1] in marg. BS 22. τοῖς ΗΘ A, distinx. BS 24. ἔστω (ante ἐπὶ) add. A[2] super vs. (BS) 24. 25. ΒΓ — ἐπὶ τὴν om. S 25. ΕΖ] ΖΓ Sca

Similiter demonstrabimus, quicunque angulus propior est ipsi $\alpha\beta\gamma$, eum semper remotiore minorem esse.



Denique dico binos tantum aequales angulos ad utrasque ipsius $\alpha\beta\gamma$ partes constitui.

In plano subiecto constituatur ad rectam $\gamma\beta$ verticemque β angulus $\gamma\beta\zeta$ aequalis angulo $\gamma\beta\delta$, et a γ ad $\beta\zeta$ ducatur perpendicularis $\gamma\zeta$, et iungatur $\alpha\zeta$. Quoniam est

$\angle\gamma\beta\delta = \angle\gamma\beta\zeta$, et, utpote rectus recto,

$\angle\gamma\delta\beta = \angle\gamma\zeta\beta$, et $\gamma\beta$ latus utrique triangulo commune est, ergo est (*elem.* 1, 26)

$\beta\delta = \beta\zeta$, et

$\gamma\delta = \gamma\zeta$. Et $\alpha\gamma$ ad utramque rectarum $\gamma\delta$ $\gamma\zeta$ perpendicularis est (*elem.* 11 *defin.* 3); ergo est

$\alpha\delta = \alpha\zeta$. Iam quia *demonstrata* est $\beta\delta = \beta\zeta$, et $\alpha\delta = \alpha\zeta$, et latus $\beta\alpha$ commune est, est igitur (*elem.* 1, 8)

$\angle\alpha\beta\delta = \angle\alpha\beta\zeta$.

Similiter demonstrabimus alium angulum ipsi $\alpha\beta\delta$ aequalem constitui non posse.

Ergo *tria quae proposita erant demonstrata sunt*, angulum $\alpha\beta\gamma$ minimum, propiorem autem semper remotiore minorem esse, denique binos tantum aequales angulos ad utrasque ipsius $\alpha\beta\gamma$ partes constitui.

XLIV. Sint duo triangula $\alpha\beta\gamma$ $\delta\varepsilon\zeta$ aequalibus lateribus $\beta\gamma$ $\varepsilon\zeta$, quae bifariam secentur in punctis η ϑ, et iungantur $\alpha\eta$ $\delta\vartheta$, quae etiam inter se aequales sint, et sit $\alpha\eta$ quidem ipsi $\beta\gamma$ perpendicularis, $\delta\vartheta$ autem ipsi $\varepsilon\zeta$ non perpendicularis, sitque $\alpha\eta$ maior quam $\eta\beta$; dico angulum $\beta\alpha\gamma$ angulo $\varepsilon\delta\zeta$ maiorem esse. Prop. 45

Describatur circa triangulum $\alpha\beta\gamma$ circulus $\alpha\beta\gamma$, et producatur $\alpha\eta$ ad λ *punctum circumferentiae*. Quoniam $\alpha\eta$ maior quam $\eta\beta$, et $\alpha\lambda$ diametrus est, centrum igitur circuli est *τοῦ κύκλου ἐστὶ μεταξὺ τῶν Α Η (τοῦτο γὰρ ἑξῆς)· μεγίστη ἄρα ἐστὶν ἡ ΑΗ, καὶ αἰεὶ ἡ ἔγγιον αὐτῆς μείζων*



τῆς ἀπώτερον. συνεστάτω τῇ ὑπὸ ΔΘΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΓΗΜ· μείζων ἄρα ἐστὶν ἡ ΑΗ, τουτέστιν ἡ ΔΘ, τῆς ΗΜ. κείσθω τῇ ΔΘ ἴση ἡ ΗΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΚΒ ΚΓ· ἡ ἄρα ὑπὸ ΕΔΖ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΒΚΓ. μείζων δὲ τῆς ὑπὸ ΒΚΓ ἡ ὑπὸ ΒΑΓ· καὶ τῆς ὑπὸ ΕΔΖ ἄρα μείζων ἐστὶν ἡ ὑπὸ ΒΑΓ.

86 *Ὑποκειμένων τῶν αὐτῶν ἔστω ἐλάσσων ἡ ΗΑ τῆς ΗΒ· λέγω ὅτι ἐλάσσων ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ.*

Συνεστάτω οὖν τῇ ὑπὸ ΔΘΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΓΗΜ. καὶ ἐπεὶ ἐλάσσων ἐστὶν ἡ ΑΗ τῆς ΗΒ, καὶ ἔστιν διάμετρος ἡ ΑΛ, τὸ ἄρα κέντρον τοῦ κύκλου ἐστὶν μεταξὺ τῶν Λ Η· ἐλαχίστη ἄρα ἐστὶν ἡ ΑΗ· μείζων ἄρα ἐστὶν ἡ ΗΜ τῆς ΗΑ, τουτέστιν τῆς ΔΘ. κείσθω αὐτῇ ἴση ἡ ΗΝ, καὶ ἐπεζεύχθωσαν αἱ ΝΒ ΝΓ· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΕΔΖ γωνία τῇ ὑπὸ ΒΝΓ. ἀλλὰ ἡ ὑπὸ ΒΝΓ τῆς ὑπὸ ΒΑΓ μείζων ἐστίν· μείζων ἄρα ἡ ὑπὸ ΕΔΖ γωνία τῆς ὑπὸ ΒΑΓ, ὅπερ: ~

87 *με΄. Κύκλος ὁ ΑΒΓ, οὗ διάμετρος ἡ ΑΒ, καὶ ἐπ'*

---

1. τῶν $\overline{ΑΗ}$ AB, distinx. S 2. αἰει η εγγιον A, corr. BS 11. γωνίαις ἡ ὑπὸ A, γωνία ἡ ὑπὸ B, corr. S 13. 14. τῶν $\overline{ΑΗ}$ A, distinx. BS 20. $\overline{ΜΕ}$ A^1 in marg. (BS)

inter puncta α η (hoc enim deinceps *propos. 47 demonstrabitur*). Ergo $\alpha\eta$ maxima est *omnium quae ab η ad circumferentiam ducuntur* et, quae ipsi $\alpha\eta$ propior, ea semper maior est remotiore (*elem.* 3, 7). Constituatur angulus $\gamma\eta\mu$ ipsi $\zeta\vartheta\delta$ aequalis; ergo $\alpha\eta$, id est $\delta\vartheta$ (*utpote ex hypothesi* $= \alpha\eta$), maior est quam $\eta\mu$. Ponatur $\eta\varkappa = \vartheta\delta$, et iungantur $\varkappa\beta$ $\varkappa\gamma$: ergo est

$\angle \beta\varkappa\gamma = \angle \varepsilon\delta\zeta$. Sed est (*si iungantur $\beta\mu$ $\mu\gamma$, propter elem.* 3, 21)

$\angle \beta\alpha\gamma = \angle \beta\mu\gamma$, *id est* (*elem.* 1, 21)

$> \angle \beta\varkappa\gamma$; ergo

$\angle \beta\alpha\gamma > \angle \varepsilon\delta\zeta$.

Iisdem *ceteroquin* suppositis sit $\alpha\eta$ minor quam $\eta\beta$; dico angulum $\beta\alpha\gamma$ angulo $\varepsilon\delta\zeta$ minorem esse. Prop. 46



Constituatur igitur angulus $\mu\eta\gamma$ angulo $\delta\vartheta\zeta$ aequalis. Et quia $\alpha\eta$ minor quam $\eta\beta$, et $\alpha\lambda$ diametrus est, centrum igitur circuli est inter puncta λ η (*propos. 47 extr.*). Ergo minima est $\alpha\eta$ *etc.* (*elem.* 3, 7); itaque $\eta\mu$ maior est quam $\eta\alpha$, id est quam $\vartheta\delta$. Ponatur $\eta\nu = \vartheta\delta$, et iungantur $\beta\nu$ $\nu\gamma$; ergo est

$\angle \beta\nu\gamma = \angle \varepsilon\delta\zeta$. Sed est (*similiter ac propos.* 45)

$\angle \beta\nu\gamma > \angle \beta\mu\gamma$, *id est*

$> \angle \beta\alpha\gamma$; itaque

$\angle \beta\alpha\gamma < \angle \varepsilon\delta\zeta$, q. e. d.

XLV. *Sit* circulus $\alpha\beta\gamma$, cuius diametrus $\alpha\beta$, in eaque Prop. 47

αὐτῆς τυχὸν σημεῖον τὸ Δ, καὶ διήχθω ὡς ἔτυχεν ἡ ΓΔ, καὶ ἔστω μείζων ἡ ΑΔ τῆς ΔΓ· ὅτι καὶ τῆς ΔΒ μείζων ἐστίν.



Ἐπεζεύχθωσαν αἱ ΑΓ ΓΒ. ἐπεὶ μείζων ἐστὶν ἡ ὑπὸ ΑΓΔ γωνία τῆς ὑπὸ ΓΑΔ, λοιπὴ ἄρα ἡ ὑπὸ ΔΓΒ ἐλάσσων ἐστὶν τῆς ὑπὸ ΔΒΓ· μείζων ἄρα ἐστὶν ἡ ΓΔ τῆς ΔΒ. ἔστιν δὲ καὶ ἡ ΑΔ μείζων τῆς ΔΓ· πολλῷ ἄρα μείζων ἐστὶν ἡ ΑΔ τῆς ΔΒ.

Ὁμοίως δείξομεν [ὅτι], κἂν ἐλάσσων ᾖ ἡ ΑΔ τῆς ΔΓ, ὅτι καὶ τῆς ΔΒ ἐλάσσων ἐστίν.

88 μς'. Κύκλος ὁ ΑΒΓ, οὗ διάμετρος ἡ ΑΒ, καὶ ἐπ' αὐτῆς εἰλήφθω σημεῖον τὸ Δ, καὶ διήχθωσαν αἱ ΔΓ ΔΕ, καὶ ἔστω μείζων ἡ ΓΔ τῆς ΔΕ· ὅτι μείζων ἐστὶν ἡ ΑΔ τῆς ΔΒ.

Ἐπεζεύχθω ἡ ΓΕ, καὶ κάθετος ἡ ΔΖ· μείζων ἄρα ἐστὶν ἡ ΓΖ τῆς ΖΕ. τετμήσθω δίχα ἡ ΓΕ τῷ Η, καὶ διὰ τοῦ Η παράλληλος τῇ ΔΖ ἡ ΗΘ· πρὸς ὀρθὰς ἄρα ἐστὶν ἡ ΘΗ τῇ ΓΕ. ἀλλὰ καὶ δίχα αὐτὴν τέμνει· ἐπὶ τῆς ΗΘ ἄρα ἐστὶν τὸ κέντρον. ἀλλὰ καὶ ἐπὶ τῆς ΑΒ· τὸ ἄρα Θ κέντρον ἐστὶν τοῦ κύκλου· μείζων ἄρα ἐστὶν ἡ ΑΔ τῆς ΔΒ.

89 μζ'. Ἔστω πάλιν δύο τρίγωνα τὰ ΑΒΓ ΔΕΖ ἴσας ἔχοντα τὰς ΒΓ ΕΖ, καὶ δίχα τετμήσθωσαν αἱ ΒΓ ΕΖ τοῖς Η Θ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ ΔΘ, καὶ ἔστωσαν ἴσαι, καὶ μηδετέρα τῶν ΑΗ ΔΘ ἔστω κάθετος ἐπὶ τὴν βάσιν, ἔστω δὲ μείζων ἡ ὑπὸ ΑΗΓ γωνία τῆς ὑπὸ ΔΘΖ· λέγω ὅτι, ἐὰν μὲν ᾖ μείζων ἡ ΑΗ τῆς ΗΓ, μείζων ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ, εἰ δὲ ἐλάσσων ἡ ΗΑ τῆς ΗΓ, ἐλάσσων καὶ ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ.

---

2. τῆς ΔΓ] τῆς $\overline{\Delta\Gamma}$ A, τῆς $\overline{\alpha\gamma}$ S, corr. B *Sca*   11. ὅτι del. *Hu*
13. $\overline{\mathrm{M}\varsigma}$ A^1 in marg. (BS)   ὁ ΑΒΓ *Hu* auctore *Co* pro ὁ $\overline{\mathrm{AB}}$
24. $\overline{\mathrm{MZ}}$ A^1 in marg. (BS)   πάλιν om. *Co*   25. 26. τοῖς $\overline{\mathrm{H}\Theta}$ A, distinx. BS

quodlibet punctum δ, et ducatur utcunque $\gamma\delta$, sitque $\alpha\delta$ maior quam $\delta\gamma$; dico $\alpha\delta$ etiam maiorem esse quam $\delta\beta$.

Iungantur $\alpha\gamma$ $\gamma\beta$. Quoniam est

$\angle\, \alpha\gamma\delta + \angle\, \delta\gamma\beta = \angle\, \gamma\alpha\delta + \angle\, \gamma\beta\delta$, *et*

$\angle\, \alpha\gamma\delta > \angle\, \gamma\alpha\delta$ *elem. I. 18*, restat igitur

$\angle\, \delta\gamma\beta < \angle\, \gamma\beta\delta$: itaque *elem. I. 19*

$\delta\gamma > \delta\beta$. Sed est

$\alpha\delta > \delta\gamma$; multo igitur

$\alpha\delta > \delta\beta$.

Similiter demonstrabimus, si $\alpha\delta$ minor sit quam $\delta\gamma$, eandem minorem esse quam $\delta\beta$.

XLVI. Sit circulus $\alpha\beta\gamma$, cuius diametrus $\alpha\beta$, in eaque Prop. 48
sumatur quodlibet punctum δ, et *ad circumferentiam* ducantur $\delta\gamma$ $\delta\varepsilon$, sitque $\delta\gamma$ maior quam $\delta\varepsilon$; dico $\alpha\delta$ maiorem esse quam $\delta\beta$.



Iungatur $\gamma\varepsilon$, eique perpendicularis *ducatur* $\delta\zeta$; ergo $\gamma\zeta$ maior est quam $\zeta\varepsilon$ *. Bifariam secetur $\gamma\varepsilon$ in puncto η, et per η ipsi $\delta\zeta$ parallela *ducatur* $\eta\vartheta$; ergo $\eta\vartheta$ ipsi $\gamma\varepsilon$ perpendicularis est. Sed $\eta\vartheta$ etiam bifariam secat $\gamma\varepsilon$: ergo centrum circuli est in $\eta\vartheta$ (*elem. 3. 1 coroll.*). Sed idem etiam in $\alpha\beta$: ergo ϑ circuli centrum est; itaque $\alpha\delta$ maior est quam $\delta\beta$ **.

XLVII. Sint rursus duo triangula $\alpha\beta\gamma$ $\delta\varepsilon\zeta$ aequalibus Prop. 49
lateribus $\beta\gamma$ $\varepsilon\zeta$, quae bifariam secentur in punctis η ϑ, et iungantur $\alpha\eta$ $\delta\vartheta$, quae inter se aequales sint, et neutra earum sit perpendicularis ad basim, angulus autem $\alpha\eta\gamma$ angulo $\delta\vartheta\zeta$ maior sit: dico,

si sit $\alpha\eta > \eta\gamma$, esse $\angle\, \beta\alpha\gamma > \angle\, \varepsilon\delta\zeta$, at,

si sit $\alpha\eta < \eta\gamma$, esse $\angle\, \beta\alpha\gamma < \angle\, \varepsilon\delta\zeta$.

* Hoc ex propos. 42 similiter demonstratur ac supra p. 573.

** Nam quia $\gamma\zeta > \zeta\varepsilon$, punctum η est inter γ ζ; itaque ϑ inter δ ζ etc.

Ἤχθω ἀπὸ τοῦ Η τῇ ΒΓ πρὸς ὀρθὰς ἡ ΗΚ· διάμετρος ἄρα ἐστὶν τοῦ κύκλου. ἔστω πρότερον μείζων ἡ ΗΑ



τῆς ΗΓ· διὰ ἄρα τὸ προδειχθὲν μείζων ἐστὶν ἡ ΗΚ τῆς ΗΑ [μεγίστη ἄρα ἐστὶν ἡ ΚΗ, καὶ αἰεὶ ἡ ἔγγιον αὐτῆς τῆς ἀπώτερον μείζων]. συνεστάτω τῇ ὑπὸ ΔΘΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΓΗΜ· μείζων ἄρα ἐστὶν ἡ ΗΑ, τουτέστιν ἡ ΔΘ, τῆς ΗΜ. κείσθω αὐτῇ ἴση ἡ ΗΝ, καὶ ἐπεζεύχθωσαν αἱ ΝΒ ΝΓ· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΝΓ γωνία τῇ ὑπὸ ΕΔΖ· μείζων ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ.

Ὁμοίως δείξομεν ὅτι, ἐὰν ᾖ ἐλάσσων ἡ ΑΗ τῆς ΗΓ, ἐλάσσων ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῆς ὑπὸ ΕΔΖ, ὅπερ: ~

90 μη'. Ἔστω κύκλος ὁ ΑΒΓ, οὗ κέντρον τὸ Ε, καὶ ἀπὸ τοῦ Ε πρὸς ὀρθὰς ἔστω τῷ τοῦ κύκλου ἐπιπέδῳ ἡ ΕΖ· λέγω ὅτι, ἐὰν ἐπὶ τῆς ΕΖ τὸ ὄμμα τεθῇ, ἴσαι αἱ διάμετροι φαίνονται τοῦ κύκλου.

Τοῦτο δὲ δῆλον· ἅπασαι γὰρ αἱ ἀπὸ τοῦ Ζ πρὸς τὴν τοῦ κύκλου περιφέρειαν προσπίπτουσαι εὐθεῖαι ἴσαι εἰσὶν ἀλλήλαις καὶ ἴσας γωνίας περιέχουσιν.

91 Μὴ ἔστω δὲ ἡ ΕΖ πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ, ἴση δὲ ἔστω τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου· λέγω ὅτι τοῦ ὄμματος ὄντος πρὸς τῷ Ζ σημείῳ καὶ οὕτως αἱ διάμετροι ἴσαι ὁρῶνται.

Ἤχθωσαν γὰρ δύο διάμετροι αἱ ΑΓ ΒΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΑ ΖΒ ΖΓ ΖΔ. ἐπεὶ αἱ τρεῖς αἱ ΕΔ ΕΓ ΕΖ ἴσαι εἰσίν, ὀρθὴ ἄρα ἡ ὑπὸ ΔΖΓ γωνία. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΒΖΔ ὀρθή ἐστιν· ἴσαι ἄρα φανήσονται αἱ ΑΓ ΒΔ διάμετροι. ὁμοίως δὴ δείξομεν ὅτι καὶ πᾶσαι.

Ducatur ab η ipsi $\beta\gamma$ perpendicularis $\eta\varkappa$; ergo in $\eta\varkappa$ circuli centrum est (*elem.* 3, 1 *coroll.*). Sit primum $\alpha\eta > \eta\gamma$; ergo propter id quod supra (*in propos.* 45) demonstravimus est $\varkappa\eta > \alpha\eta$. Constituatur $\angle\, \mu\eta\gamma = \angle\, \delta\vartheta\zeta$; ergo $\eta\alpha$, id est $\vartheta\delta$, $> \eta\mu$. Ponatur $\eta\nu = \vartheta\delta$, et iungantur $\nu\beta$ $\nu\gamma$; ergo est

$\angle\, \beta\nu\gamma = \angle\, \varepsilon\delta\zeta$: itaque (*similiter ac propos.* 45)

$\angle\, \beta\alpha\gamma > \angle\, \varepsilon\delta\zeta$.

Similiter demonstrabimus, si sit $\alpha\eta < \eta\gamma$, esse $\angle\, \beta\alpha\gamma < \angle\, \varepsilon\delta\zeta$, q. e. d.

XLVIII. Sit circulus $\alpha\beta\gamma$, cuius centrum ε, et ab ε circuli plano perpendicularis sit $\varepsilon\zeta$; *dico, si oculus in recta* $\varepsilon\zeta$ positus sit, circuli diametros aequales apparere. Prop. 50



Hoc vero manifestum; nam omnes rectae, quae a puncto ζ ad circuli circumferentiam pertinent, inter se aequales sunt angulosque aequales comprehendunt.

At recta $\zeta\varepsilon$ circuli plano non perpendicularis sit, eademque circuli semidiametro aequalis; dico, oculo in puncto ζ posito, sic etiam diametros aequales apparere.



Ducantur enim duae diametri $\alpha\gamma$ $\beta\delta$, et iungantur $\zeta\alpha$ $\zeta\beta$ $\zeta\gamma$ $\zeta\delta$. Quoniam tres $\alpha\varepsilon$ $\varepsilon\gamma$ $\varepsilon\zeta$ aequales sunt, rectus igitur est angulus $\alpha\zeta\gamma$ (*elem.* 3, 31). Eadem ratione etiam angulus $\beta\zeta\delta$ rectus est; diametri igitur $\alpha\gamma$ $\beta\delta$ aequales apparebunt. Similiter demonstrabimus etiam omnes *reliquas*.

4. 5. μεγίστη — μείζων interpolatori tribuit *Hu* (μεγίστη γάρ ἐστιν etc. coni. *Co*) 4. αἰεὶ ἡ ἔγγιον A, corr. BS 6. τουτέστιν ἡ *ΔΘ* AB, corr. S 8. τῇ ὑπὸ *ΕΔΖ* A[1] ex τῇ ὑπὸ *ΒΔΖ* 12. *ΜΗ* A[1] in marg. (BS) 13. τῷ S, om. AB 18. ἀλλήλοις A, corr. BS 24. *ΕΔ* A[2] BS; pro nescio qua primae m. scriptura

92 *Δῆλον οὖν ὅτι [ἐὰν ᾖ κύκλος καὶ ἀπὸ τοῦ κέντρου αὐτοῦ πρὸς ὀρθὰς ἀχθῇ τῷ τοῦ κύκλου ἐπιπέδῳ, ὅπου ἂν ἐπὶ τῆς ἀχθείσης τὸ ὄμμα τεθῇ, ἴσαι ὀφθήσονται αἱ τοῦ κύκλου διάμετροι, ἐὰν δὲ ἡ ἀπὸ τοῦ κέντρου ἀνισταμένη μὴ ᾖ πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ, ἴση δὲ τῇ ἐκ τοῦ κέντρου ὑπάρχῃ, καὶ οὕτως ἀπὸ τοῦ πέρατος αὐτῆς ἴσαι αἱ διάμετροι τοῦ κύκλου ὀφθήσονται· δῆλον δὴ ὅτι ἐντεῦθεν], ἐὰν ᾖ ἐν σφαίρᾳ μέγιστος κύκλος, ἐπὶ δὲ τῆς ἐπιφανείας τῆς σφαίρας ὁπουδήποτε τὸ ὄμμα μετατεθῇ κατὰ τῆς τοῦ κύκλου περιφερείας, αἱ διάμετροι ἴσαι ὀφθήσονται.*

93 *μθʹ. Ἐὰν ᾖ κύκλος, ἀπὸ δὲ τοῦ κέντρου ἀνασταθῇ τις εὐθεῖα μήτε πρὸς ὀρθὰς οὖσα τῷ τοῦ κύκλου ἐπιπέδῳ μήτε ἴση τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου, ἐπὶ δὲ τοῦ πέρατος τῆς ἀνασταθείσης τὸ ὄμμα τεθῇ, ἄνισοι αἱ τοῦ κύκλου διάμετροι ὀφθήσονται.*

Ἔστω κύκλος ὁ ΑΒΓ, οὗ κέντρον τὸ Δ, καὶ ἀπὸ τοῦ Δ ἀνεστάτω τις εὐθεῖα ἡ ΔΕ μήτε πρὸς ὀρθὰς οὖσα τῷ τοῦ κύκλου ἐπιπέδῳ μήτε ἴση τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου, καὶ ἔστω τὸ ὄμμα πρὸς τῷ Ε, ἔστω δὲ πρότερον ἡ ΔΕ μείζων τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου τοῦ ΑΒ, καὶ ἤχθω ἀπὸ τοῦ Ε σημείου ἐπὶ τὸ τοῦ κύκλου ἐπίπεδον κάθετος ἡ ΕΖ, καὶ ἐπιζευχθεῖσα ἡ ΖΗΔ διήχθω ἐπὶ τὸ Γ, καὶ ἤχθω ἀπὸ τοῦ Δ τῇ ΗΓ πρὸς ὀρθὰς ἡ ΑΒ· λέγω ὅτι μεγίστη μὲν ὀφθήσεται ἡ ΑΒ, ἐλαχίστη δὲ ἡ ΗΓ, αἰεὶ δὲ ἡ ἔγγιον τῆς ΗΓ τῆς ἀπώτερον ἐλάσσων ὀφθήσεται, δύο δὲ μόνον ἴσαι ἐφ' ἑκάτερα τῆς ΗΓ θεωρηθήσονται.

Δῆλον δὴ ὅτι ἡ ΕΔ κάθετός ἐστιν ἐπὶ τὴν ΑΒ· ἀπὸ

---

1. *ἐὰν ᾖ* — 8. *ἐντεῦθεν* tribuit *Hu* interpolatori, qui et supervacanea addidit et alia quaedam suae manus vestigia reliquit (nam vs. 2. post *αὐτοῦ* omisit *εὐθεῖα*, et vs. 4. *ἀνισταμένη* minus recte scripsisse videtur pro *ἀνεσταμένη*, et vs. 8. *ἐντεῦθεν* alieno loco interposuit, ubi *ἐντεῦθεν ὅτι* voluit *Co*) 13. *ΜΘ* A[1] in marg. (BS) *ἀπὸ* A[2]BS, *αὐτὸ* A[1] 23. *ἡ ΖΗΔ Co* (idque confirmat figurae in codicibus descriptae ratio), *ἡ ΗΖΔ* ABS (quod si retinere velis, figuram ita delineare oporteat, ut punctum ζ inter η δ cadat, quo facto variae lineae rectae, quae ducendae sunt, vix inter se distinguantur) 26. *ἔγγειον*

Itaque manifestum est, si sit in sphaera maximus circulus, et in quolibet puncto superficiei sphaerae oculus ita positus sit, ut circuli circumferentiam intueatur[1], diametros eius aequales apparere.

II. Si sit circulus, et a centro eius recta quaedam erigatur, quae neque circuli plano perpendicularis neque semidiametro circuli aequalis sit, et in termino eius rectae oculus positus sit, circuli diametri inaequales apparebunt. Prop. 51



Sit circulus $\alpha\beta\gamma$, cuius centrum δ, et a δ erigatur recta $\delta\varepsilon$, quae neque circuli plano perpendicularis neque semidiametro circuli aequalis sit, atque oculus versetur in puncto ε, sit autem primum recta $\delta\varepsilon$ maior semidiametro circuli $\alpha\beta\gamma$, et a puncto ε ad circuli planum ducatur perpendicularis $\varepsilon\zeta$, et iuncta $\zeta\eta\delta$ producatur ad γ, et per δ ipsi $\eta\gamma$ perpendicularis ducatur $\alpha\beta$; dico

maximam apparere diametrum $\alpha\beta$, minimam $\eta\gamma$*), et, quaecunque diametrus ipsi $\eta\gamma$ propior sit, eam minorem semper apparere remotiore, denique

binas tantum aequales diametros ad utrasque ipsius $\eta\gamma$ partes conspici.

Primum igitur rectam $\varepsilon\delta$ ipsi $\alpha\beta$ perpendicularem esse

1) Haec est vis Graecae praepositionis κατά; excipitur igitur is casus, ut oculus in ipsa circuli circumferentia positus sit.

*) Conf. Eucl. optic. propos. 38.

(sine spir. et acc. A, corr. BS, item p. 584, 5   27. ἑκάτερα A¹ ex ἑκάτεροι *γὰρ μετεώρου σημείου τοῦ Ε ἐπὶ τὸ τοῦ κύκλου ἐπίπεδον κάθετος διῆκται ἡ ΕΖ, καὶ τυχοῦσα διῆκται ἡ ΑΒ, καὶ ἀπὸ τοῦ Ζ ἐπ᾽ αὐτὴν κάθετος ἦκται ἡ ΔΖ, καὶ ἐπέζευκται ἡ ΕΔ. ἔτι δὲ καὶ τοῦτο δῆλον ἐκ τῶν προειρημένων ὅτι ἡ μὲν ὑπὸ ΕΔΖ γωνία ἐλαχίστη ἐστίν, αἰεὶ δὲ ἡ ἔγγιον αὐτῆς τῆς ἀπώτερόν ἐστιν ἐλάσσων, ἴσαι δὲ δύο μόνον ἐφ᾽ ἑκάτερα αὐτῆς συνίστανται.*

94 *Διήχθω δή τις ἡ ΘΔΚ· ἡ ἄρα ΕΔ οὐκ ἔστιν κάθετος ἐπὶ τὴν ΘΚ. ἐὰν γὰρ ᾖ κάθετος, ἀλλὰ καὶ ἐπὶ τὴν ΑΒ κάθετος, ἔσται ἄρα ἡ ΕΔ ἐπὶ τὸ τοῦ κύκλου ἐπίπεδον, ὅπερ ἀδύνατον· οὐκ ἄρα κάθετός ἐστιν ἡ ΕΔ ἐπὶ τὴν ΘΚ. ἐπεζεύχθωσαν αἱ ΕΑ ΕΒ ΕΘ ΕΚ ΕΗ ΕΓ. ἐπεὶ δύο τρίγωνά ἐστιν τὰ ΑΕΒ ΕΘΚ ἴσας ἔχοντα τὰς ΑΒ ΘΚ βάσεις, ὧν ἑκατέρα δίχα τέτμηται κατὰ τὸ Δ, καὶ ἔστιν ἡ ΕΔ ἡ αὐτὴ ἐν ἑκατέρῳ τῶν τριγώνων, ἐπὶ μὲν τὴν ΑΒ κάθετος οὖσα, ἐπὶ δὲ τὴν ΘΚ οὐκέτι, καὶ ἔστιν ἡ ΕΔ μείζων τῆς ΔΑ, μείζων ἄρα ἐστὶν ἡ ὑπὸ ΑΕΒ γωνία τῆς ὑπὸ ΘΕΚ. ὁμοίως δείξομεν ὅτι καὶ πασῶν τῶν ὁμοίως διαγομένων· ἡ ἄρα ΑΒ μεγίστη ὁρᾶται.*



95 *Πάλιν ἐπεὶ δύο τρίγωνά ἐστιν τὰ ΕΗΓ ΕΘΚ ἴσας ἔχοντα τὰς βάσεις καὶ κοινὴν τὴν ΕΔ, καὶ ἡ ΕΔ ἐπὶ οὐδετέραν τῶν ΘΚ ΗΓ κάθετός ἐστιν, μείζων δέ ἐστιν ἡ ὑπὸ ΕΔΘ γωνία τῆς ὑπὸ ΕΔΗ (δέδεικται γὰρ ἐλαχίστη ἡ ὑπὸ ΕΔΗ), καὶ ἔστιν ἡ ΕΔ μείζων τῆς ΔΘ, μείζων ἄρα ἐστὶν ἡ ὑπὸ ΘΕΚ γωνία τῆς ὑπὸ ΗΕΓ γωνίας (προδέδεικται γὰρ καὶ τοῦτο), ὁμοίως δείξομεν ὅτι ἐλαχίστη ἐστὶ πασῶν ἡ ὑπὸ ΗΕΓ γωνία· ἡ ἄρα ΗΓ ἐλαχίστη ὁρᾶται.*

apparet *ex propos. 45: namque, ut illic posuimus*, a sublimi puncto ε ad circuli planum perpendicularis ducta est $\varepsilon\zeta$, et *praeterea in circuli plano* ducta est quaelibet $\alpha\beta$, atque a ζ in eam perpendicularis $\zeta\delta$, et iuncta $\varepsilon\delta$. Praeterea ex superioribus (*propos. 44* hoc quoque manifestum est, angulum $\varepsilon\delta\zeta$ minimum esse, et eum angulum qui ipsi $\varepsilon\delta\zeta$ propior est semper remotiore minorem esse, binos autem tantum aequales ad utrasque ipsius $\varepsilon\delta\zeta$ partes constitui. Iam ducatur diametrus quaelibet $\vartheta\delta\varkappa$; ergo $\varepsilon\delta$ non perpendicularis est ad $\vartheta\varkappa$. Nam quoniam $\varepsilon\delta$ ad $\alpha\beta$ perpendicularis est, si etiam ad $\vartheta\varkappa$ perpendicularis esset, ipsa perpendicularis esset ad circuli planum (*elem. 11, 4*), id quod fieri non potest; ergo $\varepsilon\delta$ non perpendicularis est ad $\vartheta\varkappa$. Iungantur $\varepsilon\alpha$ $\varepsilon\beta$ $\varepsilon\vartheta$ $\varepsilon\varkappa$ $\varepsilon\gamma$ $\varepsilon\eta$. Quoniam sunt duo triangula $\alpha\varepsilon\beta$ $\vartheta\varepsilon\varkappa$, aequales habentia bases $\alpha\beta$ $\vartheta\varkappa$, quarum utraque in puncto δ bifariam secta est, et recta $\varepsilon\delta$, aequalis in utroque triangulo, ad $\alpha\beta$ perpendicularis est, sed ad $\vartheta\varkappa$ non item, atque $\varepsilon\delta$ maior est quam $\delta\alpha$, ergo *propter propos. 45* angulus $\alpha\varepsilon\beta$ maior est angulo $\vartheta\varepsilon\varkappa$. Similiter demonstrabimus angulum $\alpha\varepsilon\beta$ etiam maiorem esse omnibus *reliquis* qui similiter ducantur: ergo $\alpha\beta$ maxima apparet.

Rursus quia sunt duo triangula $\vartheta\varepsilon\varkappa$ $\gamma\varepsilon\eta$, aequales habentia bases $\vartheta\varkappa$ $\gamma\eta$ *in δ dimidiatas*, et recta $\varepsilon\delta$ in neutram basim perpendicularis est, atque angulus $\varepsilon\delta\vartheta$ maior est angulo $\varepsilon\delta\eta$ (nam angulum $\varepsilon\delta\eta$, *id est* $\varepsilon\delta\zeta$, minimum esse demonstravimus *propos. 44*), denique $\varepsilon\delta$ maior est quam $\delta\vartheta$, angulus igitur $\vartheta\varepsilon\varkappa$ maior est angulo $\eta\varepsilon\gamma$ (nam hoc quoque supra demonstravimus *propos. 49*). Similiter demonstrabimus angulum $\eta\varepsilon\gamma$ minimum esse omnium; ergo $\eta\gamma$ minima apparet.

Hinc etiam manifestum est, quaecunque diametrus ipsi $\eta\gamma$ propior sit, eam minorem semper apparere remotiore.

4. ἔτι τε A(B), corr. S 8. ἡ ΔΘΚ ABS, ἡ ΘΚ Co, corr. Hu
23. οὐκέτι Hu pro οὐκ ἔστιν 27. τῆς ὑπὸ ΕΘΚ ABS, corr. Co Sca
29. τὰ ΕΗΓΕΘΚ A, distinx. BS 34. προαδέδεικται S

96 *Καὶ φανερὸν ὅτι ἴσαι δύο μόνον ἐφ' ἑκάτερα τῆς ΗΓ ὀφθήσονται, ἐπειδήπερ τῆς ὑπὸ ΕΔΖ γωνίας δύο ἴσαι μόνον ἐφ' ἑκάτερα συνίστανται γωνίαι.*

97



Ὁμοίως δείξομεν ὅτι, ἐὰν ᾖ ἐλάσσων ἡ ΕΔ τῆς ΔΑ, [ὅτι] μεγίστη μὲν ὀφθήσεται ἡ ΗΓ, ἐλαχίστη δὲ ἡ ΑΒ, καὶ αἰεὶ ἡ ἔγγιον τῆς ΑΒ τῆς ἀπώτερον ἐλάσσων, ἴσαι δὲ δύο μόνον ἐφ' ἑκάτερα τῆς ΗΓ (ἢ τῆς ΑΒ) ὀφθήσονται.

98 *ν'. Ἐπεὶ οὖν ὁ κύκλος ἔδοξεν ἐλλείψεως παρέχειν φαντασίαν τῇ ὄψει καὶ τὸ κέντρον αὐτοῦ φαινόμενον εἶναι κέντρον τῆς ἐλλείψεως, ἔνστασιν οὐ τὴν τυχοῦσαν ἔχει τὸ θεώρημα· δυνατὸν γάρ ἐστιν ἀποδεῖξαί τι σημεῖον ἕτερον ἐν τῷ κύκλῳ κέντρον ὁρώμενον τῆς κατὰ φαντασίαν γραμμῆς. προγραφήσεται δὲ λημμάτιον τόδε.*

99 *Ἔστω ὡς ἡ ΒΚ εὐθεῖα πρὸς ΚΔ, οὕτως ἡ ΒΘ πρὸς ΔΘ, καὶ ἔστω ἴση ἡ ὑπὸ ΒΖΘ γωνία τῇ ὑπὸ ΘΖΔ, καὶ ἐπεζεύχθω ἡ ΚΖ· ὅτι ὀρθή ἐστιν ἡ ὑπὸ ΘΖΚ γωνία.*



Ἤχθω τῇ ΚΖ παράλληλος διὰ τοῦ Θ ἡ ΓΘΗ, καὶ ἐκβεβλήσθω ἡ ΖΔ ἐπὶ τὸ Η. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΒΚ πρὸς ΚΔ, οὕτως ἡ ΒΘ πρὸς τὴν ΘΔ, καὶ ἐναλλὰξ ὡς ἡ ΒΚ πρὸς ΒΘ, οὕτως ἡ ΚΔ πρὸς ΔΘ, ἀλλὰ ὡς ἡ ΒΚ πρὸς ΒΘ, οὕτως ἡ ΖΚ πρὸς ΓΘ, ὡς ἄρα ἡ ΖΚ πρὸς ΓΘ, οὕτως ἡ ΚΔ πρὸς ΔΘ. ὡς δὲ ἡ ΚΔ πρὸς ΔΘ, οὕτως ἡ ΚΖ

---

6. ὅτι del. *Hu* 8. *αιει η εγγειον* (sine spir. et acc.) A, corr. BS
12. ἢ τῆς ΑΒ forsitan interpolator addiderit 14. $\overline{N}$ A[1] in marg. BS

Item manifestum est binas tantum aequales diametros ad utrasque ipsius $\eta\gamma$ partes conspici, quoniam binos tantum aequales angulos ad utrasque ipsius $\varepsilon\delta\zeta$ partes constitui *supra ostendimus propos. 44*).

Similiter demonstrabimus, si sit $\varepsilon\delta$ minor quam $\delta\alpha$, maximam apparere diametrum $\eta\gamma$, minimam autem $\alpha\beta$*), et, quaecunque diametrus ipsi $\alpha\beta$ propior sit, eam minorem semper *apparere* remotiore, denique binas tantum aequales diametros ad utrasque ipsius $\eta\gamma$ (*vel* $\alpha\beta$) partes conspici.

L. *Quoniam igitur effecimus circulum ellipsis speciem oculo praebere et ipsius centrum adspectu ellipsis centrum esse, non mediocrem difficultatem habet hoc theorema; possumus enim demonstrare aliud in circulo punctum tamquam centrum eius quae intuenti conspicitur lineae apparere.* Praemittemus autem hoc parvulum lemma.

Sit recta $\beta\varkappa : \varkappa\delta = \beta\vartheta : \vartheta\delta$, et $\angle\, \beta\zeta\vartheta = \angle\, \vartheta\zeta\delta$, et iungatur $\varkappa\zeta$; dico angulum $\vartheta\zeta\varkappa$ rectum esse[1]). Prop. 52

Ducatur per ϑ ipsi $\zeta\varkappa$ parallela $\gamma\vartheta\eta$, et producatur $\zeta\delta$ ad η. Iam quia est

$\beta\varkappa : \varkappa\delta = \beta\vartheta : \vartheta\delta$, et vicissim

$\beta\varkappa : \beta\vartheta = \varkappa\delta : \vartheta\delta$, atque etiam *propter similitudinem triangulorum* $\beta\zeta\varkappa$ $\beta\gamma\vartheta$

$\beta\varkappa : \beta\vartheta = \zeta\varkappa : \gamma\vartheta$, est igitur

$\zeta\varkappa : \gamma\vartheta = \varkappa\delta : \vartheta\delta$. Sed propter similitudinem triangulorum $\zeta\delta\varkappa$ $\eta\delta\vartheta$ est

$\varkappa\delta : \vartheta\delta = \varkappa\zeta : \vartheta\eta$; ergo

*) Conf. Eucl. optic. propos. 39.

1) Huic propositioni manifestum est respondere duas conversas, quas addit Commandinus:

I. *Si sit* $\beta\varkappa : \varkappa\delta = \beta\vartheta : \vartheta\delta$, *et angulus* $\vartheta\zeta\varkappa$ *rectus, iunganturque* $\beta\zeta$ $\zeta\delta$, esse angulum $\beta\zeta\vartheta$ angulo $\vartheta\zeta\delta$ aequalem, quod lemma infra propos. 53 et 54 adhibetur;

II. Si sit trianguli $\vartheta\zeta\varkappa$ angulus ζ rectus, et $\angle\, \beta\zeta\vartheta = \angle\, \vartheta\zeta\delta$, esse $\beta\varkappa : \varkappa\delta = \beta\vartheta : \vartheta\delta$. Atque haec quidem propositio convenit cum illo lemmate quod a Pappo VII cap. 224 citatur. Conf. append. ad illum locum.

πρὸς ΘΗ (ἰσογώνια γὰρ τὰ ΖΔΚ ΔΗΘ τρίγωνα)· ἡ ΖΚ ἄρα πρὸς ἑκατέραν τῶν ΓΘ ΘΗ τὸν αὐτὸν ἔχει λόγον· ἴση ἄρα ἡ ΓΘ τῇ ΘΗ. καὶ ἔστιν ὡς ἡ ΓΘ πρὸς ΘΗ, οὕτως ἡ ΓΖ πρὸς ΖΗ· ἴση ἄρα καὶ ἡ ΓΖ εὐθεῖα τῇ ΖΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΓΘ τῇ ΘΗ, κοινὴ δὲ ἡ ΖΘ, καὶ βάσις ἡ ΗΖ βάσει τῇ ΓΖ ἴση, γωνία ἄρα ἡ ὑπὸ ΓΘΖ τῇ ὑπὸ ΖΘΗ ἐστὶν ἴση· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα αὐτῶν· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΘΖΚ διὰ τὸ τὰς ΓΗ ΖΚ παραλλήλους εἶναι.

100 *να'. Τούτου προγραφέντος ἔστω ὁ μὲν κύκλος ὁ ΑΒΓΔ περὶ κέντρον τὸ Ε, ὄψις δὲ μὴ ἐν τῷ ἐπιπέδῳ αὐτοῦ ἡ πρὸς τῷ Ζ σημείῳ, καὶ ἡ ἀπὸ τοῦ Ζ κάθετος ἀγομένη ἐπὶ τὸ [διὰ] τοῦ κύκλου ἐπίπεδον ἡ ΖΗ μὴ πιπτέτω ἐπὶ τὸ Ε κέντρον, καὶ ἐπιζευχθεῖσα μὲν ἡ ΗΕ ἐκβεβλήσθω ἐπὶ τὰ Β Κ, ἀπὸ δὲ τοῦ Ζ σημείου ἐπὶ τὰ Β Δ ἐπεζεύχθωσαν αἱ ΖΔ ΖΒ, καὶ τετμήσθω δίχα ἡ ὑπὸ ΒΖΔ τῇ ΖΘ, καὶ ἤχθω τῇ ΒΔ πρὸς ὀρθὰς ἡ ΑΘΓ, καὶ ἐφαπτόμεναι τοῦ κύκλου αἱ ΑΚ ΚΓ· λέγω ὅτι τῇ πρὸς τῷ Ζ ὄψει ὁ ΑΒΓΔ κύκλος ἔλλειψις φανήσεται κέντρον μὲν ἔχουσα τὸ Θ σημεῖον (οὐχ, ὥσπερ οἴονταί τινες, τὸ Ε), ἄξονας δὲ τοὺς ΓΑ ΒΔ συζυγεῖς, καὶ αἱ μὲν ἐπὶ τὴν ΒΔ καταγόμεναι τεταγμένως τῇ ΑΓ ἔσονταί τε καὶ φανοῦνται παράλληλοι, αἱ δ' ἐπὶ τὴν ΑΓ καταγόμεναι διαχθήσονται μὲν ἀπὸ τοῦ Κ, φανοῦνται δὲ τῇ ΒΔ παράλληλοι, καὶ ταὐτὰ φανεῖται περὶ τὴν ὁρωμένην ἔλλειψιν, ἃ καὶ τῇ τοῦ κώνου τομῇ συμβέβηκεν.*

Ἐπεζεύχθωσαν γὰρ αἱ ΑΖ ΖΓ· ἴση ἄρα ἡ ὑπὸ ΑΖΘ γωνία τῇ ὑπὸ ΘΖΓ. ἔστιν δὲ καὶ ἡ ὑπὸ ΘΖΒ τῇ ὑπὸ ΘΖΔ ἴση· φαίνεται ἄρα ἴση ἡ μὲν ΑΘ τῇ ΘΓ, ἡ δὲ ΒΘ

1. *γὰρ τὰ* ΔΚ A^1, Z add. A^2 (BS) 6. *ἴση* add. A^1 super vs. (BS), 10. ΝΑ A^1 in marg. (BS) *ὁ* ΑΒ ΓΔ A, coniunx. BS, item vs. 19 13. *διὰ* om. Co 15. *τὰ* ΒΚ — *τὰ* ΒΔ A, distinx. BS 17. *ἡ* ΑΘΓ] *ἡ* ΑΘ A^1B^3, *ἡ αγ* B^1S, corr. A^2 (qui Γ superscr.) Co 24. *ταὐτὰ* Hu auctore Co pro *ταῦτα*

$\zeta\varkappa : \gamma\vartheta = \zeta\varkappa : \vartheta\eta$; itaque (*elem.* 5, 9)

$\gamma\vartheta = \vartheta\eta$. Et, quia anguli $\gamma\zeta\vartheta$ $\vartheta\zeta\eta$ aequales sunt, propter *elem.* 6, 3 est

$\gamma\vartheta : \vartheta\eta = \gamma\zeta : \zeta\eta$; itaque

$\gamma\zeta = \zeta\eta$. Et quia $\gamma\vartheta = \vartheta\eta$, et $\gamma\zeta = \zeta\eta$, et communis $\zeta\vartheta$ *), est igitur

$\angle\, \gamma\vartheta\zeta = \angle\, \zeta\vartheta\eta$: itaque uterque rectus:

ergo propter parallelas $\vartheta\eta$ $\zeta\varkappa$ etiam angulus $\vartheta\zeta\varkappa$ rectus est (*elem.* 1, 29).

LI. Hoc praemonstrato sit circulus $\alpha\beta\gamma\delta$ circa centrum ε, oculus autem in puncto ζ non sit in circuli plano, et $\zeta\eta$ perpendicularis a ζ ad circuli planum ducta non cadat in centrum ε, et iuncta $\eta\delta\varepsilon$ producatur ad β $\varkappa$, et a puncto ζ ad β δ iungantur $\zeta\beta$ $\zeta\delta$, et angulus $\beta\zeta\delta$ bifariam secetur rectà $\zeta\vartheta$, et ducatur ipsi $\beta\delta$ perpendicularis recta $\alpha\vartheta\gamma$, ac circulum tangentes $\varkappa\alpha$ $\varkappa\gamma$; dico oculo in ζ *posito* circulum $\alpha\beta\gamma\delta$ visum iri ellipsim centrum habentem punctum ϑ (non, ut nonnulli opinantur, punctum ε); axes autem coniugatos fore $\alpha\gamma$ $\beta\delta$; atque ordinatas, quae ad $\beta\delta$ deducuntur, ipsi $\alpha\gamma$ parallelas et futuras et apparituras esse, ordinatas autem, quae ad $\alpha\gamma$ applicantur, a puncto quidem $\varkappa$ deductum iri, sed ipsi $\beta\delta$ parallelas apparituras esse; denique eadem in conspectu ellipsis visum iri quae in coni sectione contingunt[1]. Prop. 53

Iungantur enim $\alpha\zeta$ $\zeta\gamma$; aequales igitur sunt anguli $\alpha\zeta\vartheta$ $\vartheta\zeta\gamma$. Sed etiam anguli $\beta\zeta\vartheta$ $\vartheta\zeta\delta$ aequales sunt (*ex hypothesi*);

*) His verbis Pappus Euclidis elem. primi propositionem 8 citat (conf. supra p. 565 adnot. **).

1) Multa et in hac propositione et in ea demonstratione quae sequitur uberius explicanda commentariisque illustranda esse videntur. Et pauca quidem attulit Commandinus, quaedam etiam nos breviter significavimus; alia autem, quae quasi in transcursu absolvi non possint, futuro alicui interpreti relinquimus pertractanda. Figuram repetivimus ex codicum auctoritate, nisi quod omnem eius positionem correximus, quae apud Commandinum talis exstat qualem codices exhibent.

101 τῇ ΘΔ. λέγω δὴ ὅτι καί, ἥτις ἂν διαχθῇ ὡς ἡ ΛΘΜ, φανεῖται διχοτομουμένη κατὰ τὸ Θ. ἐπεζεύχθωσαν γὰρ αἵ τε ΛΚ ΚΜ ΜΞ καὶ αἱ ΜΖ ΖΞ ΖΝ ΖΛ καὶ ἔτι ἡ ΖΚ. ἐπεὶ οὖν διὰ τὰς ἐφαπτομένας ἐστὶν ὡς ἡ ΒΚ πρὸς



ΚΔ, ἡ ΒΘ πρὸς ΘΔ, καὶ ἔστιν ἡ ὑπὸ ΒΖΘ ἴση τῇ ὑπὸ ΘΖΔ, ὀρθή ἐστιν ἡ ὑπὸ ΘΖΚ γωνία (τοῦτο γὰρ προδέδεικται). καὶ ἐπεὶ τὸ διὰ τῶν Β Ζ Κ ἐπίπεδον ὀρθόν ἐστιν πρὸς τὸ διὰ τῶν Α Ζ Γ ἐπίπεδον (καὶ γὰρ ἡ ΑΓ ὀρθή ἐστιν τῷ διὰ τῶν Β Ζ Κ ἐπιπέδῳ, καὶ τῇ κοινῇ τομῇ τῇ ΘΖ ὀρθὴ ἦκται ἐν ἑνὶ τῶν ἐπιπέδων ἡ ΖΚ), ἡ ἄρα ΖΚ τῷ διὰ τῶν Α Ζ Γ ἐπιπέδῳ ὀρθή ἐστιν· ὀρθὴ ἄρα ἡ ὑπὸ ΝΖΚ γωνία. καὶ ἔστιν ὡς ἡ ΛΚ πρὸς ΚΞ, ἡ ΛΝ πρὸς ΝΞ· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΛΖΝ γωνία τῇ ὑπὸ ΝΖΞ· ἴση ἄρα φαίνεται ἡ ΛΝ τῇ ΝΞ. καὶ ἔστιν ὡς ἡ ΛΖ πρὸς ΖΞ, ἡ ΛΝ πρὸς ΝΞ, ἀλλ' ἡ μὲν ΖΞ τῇ ΖΜ ἴση ἐστίν (ἐπιζευχθεῖσα γὰρ ἡ ΜΞ γίνεται παράλληλος τῇ ΑΓ), ὡς δὲ ἡ ΛΝ πρὸς ΝΞ, ἡ ΛΘ πρὸς ΘΜ· ἴση ἄρα ἡ ὑπὸ ΛΖΘ γωνία τῇ ὑπὸ ΘΖΜ· ἴση ἄρα φαίνεται ἡ ΘΛ τῇ ΘΜ. ὁμοίως δὲ καί, ἥτις ἂν ἄλλη διὰ τοῦ Θ διαχθῇ, φανήσεται διχοτομουμένη κατὰ τὸ Θ· κέντρον ἄρα φαίνεται τῆς ἐλλείψεως τὸ Θ, καὶ συζυγεῖς ἄξονες οἱ ΑΓ ΒΔ, ergo $\alpha\vartheta$ ipsi $\vartheta\gamma$, et $\beta\vartheta$ ipsi $\vartheta\delta$ aequales apparent (*Eucl. optic. posit.* 7). Iam dico,

quaecunque recta, velut $\lambda\vartheta\mu$, per *circulum* ducatur, eam dimidiatam in puncto ϑ apparituram esse.

Iungantur enim rectae $\lambda\nu\xi\varkappa$ $\varkappa\mu$ $\mu\pi\xi$, item $\mu\zeta$ $\zeta\xi$ $\zeta\nu$ $\zeta\lambda$, denique $\zeta\varkappa$. Iam quia propter tangentes $\varkappa\alpha$ $\varkappa\gamma$ (*infra VII propos.* 154) est $\beta\varkappa : \varkappa\delta = \beta\vartheta : \vartheta\delta$, et anguli $\beta\zeta\vartheta$ $\vartheta\zeta\delta$ aequales sunt, angulus igitur $\vartheta\zeta\varkappa$ rectus est (hoc enim supra *propos.* 52 demonstravimus). Iam quia planum per β ζ $\varkappa$ transiens perpendiculare est ad planum quod per α ζ γ transit (*propter elem.* 11 *defin.* 4; etenim recta $\alpha\gamma$ perpendicularis est ad planum per β ζ $\varkappa$ transiens, et rectae $\vartheta\zeta$, *id est* communi *utriusque plani* sectioni, perpendicularis in uno plano ducta est $\zeta\varkappa$), recta igitur $\zeta\varkappa$ ipsi $\alpha\zeta\gamma$ plano perpendicularis est[2]; itaque angulus $\nu\zeta\varkappa$ rectus (*elem.* 11 *defin.* 3). Atque est $\lambda\varkappa : \varkappa\xi = \lambda\nu : \nu\xi$*); ergo anguli $\lambda\zeta\nu$ $\nu\zeta\xi$ aequales sunt (*propter propos.* 52 *conversam*); itaque rectae $\lambda\nu$ $\nu\xi$ aequales apparent. Atque est (*elem.* 6, 3)

$\lambda\zeta : \zeta\xi = \lambda\nu : \nu\xi$, et, quia $\xi\mu$ ipsi $\gamma\alpha$ parallela est,
$\zeta\xi = \zeta\mu$; *itaque*
$\lambda\zeta : \zeta\mu = \lambda\nu : \nu\xi$. Sed est (*propter parallelas*)
$\lambda\nu : \nu\xi = \lambda\vartheta : \vartheta\mu$; ergo
$\lambda\zeta : \zeta\mu = \lambda\vartheta : \vartheta\mu$; *itaque* (*elem.* 6, 3)
$\angle\, \lambda\zeta\vartheta = \angle\, \vartheta\zeta\mu$.

Ergo rectae $\lambda\vartheta$ $\vartheta\mu$ aequales apparent. Similiter etiam, quaecunque alia recta per ϑ ducetur, dimidiata in ipso ϑ apparebit. Itaque

centrum ellipsis videbitur ϑ, et axes coniugati $\alpha\gamma$ $\beta\delta$, et rectae ipsi $\alpha\gamma$ parallelae bifariam secabuntur rectà $\beta\delta$, rectae autem a $\varkappa$ ductae apparebunt bifariam sectae rectà $\alpha\gamma$.

2) *) Vide append. ad hanc propositionem.

3. post *αἱ ΜΖ* additum in A ξ del. prima m. 7. *τῶν ΒΖΚ* ABS ac similiter vs. 8. 9. 11, distinx. *Hu* 12. *ἡ ΛΝ* *Co* *Sca* pro *ἡ ΔΜ* 15. *ἡ ΛΝ* (*ἡ ΝΛ* A*S, *ἡ ηλ* B cod. *Co*), corr. *Co* 20. *φαίνεται* *φανεῖται* *Hu* 21. *αἱ ΑΒ ΓΔ* ABS, *αἱ βδ γα* *Sca*, corr. *Co*

καὶ αἱ μὲν τῇ ΑΓ παράλληλοι διχοτομηθήσονται ὑπὸ τῆς
ΒΔ, αἱ δὲ ἀπὸ τοῦ Κ διαγόμεναι δίχα τεμνόμεναι φα-
102 νοῦνται ὑπὸ τῆς ΑΓ, ὥσπερ ἡ ΛΞ ἀπεδείχθη. λέγω δὴ
ὅτι φαίνονται τῇ ΒΔ παράλληλοι αἱ ἀπὸ τοῦ Κ διαγόμε-
ναι. διήχθω γὰρ λόγου χάριν ἡ ΛΚ, καὶ κάθετος ἡ ΛΟ,



καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ρ, καὶ ἐπεζεύχθωσαν αἱ ΘΖ ΖΠ ΖΡ. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΛΚ πρὸς ΚΞ, τουτέστιν ὡς ἡ ΡΛ πρὸς τὴν ΞΜ, οὕτως ἡ ΛΖ πρὸς τὴν ΞΖ, καὶ ἔστιν ἴση ἡ μὲν ΛΖ τῇ ΖΡ, ἡ δὲ ΞΖ τῇ ΖΜ, ἴση ἄρα ἡ ὑπὸ ΛΖΡ τῇ ὑπὸ ΞΖΜ· καὶ ἡ ὑπὸ ΛΖΟ ἄρα ἴση ἐστὶν τῇ ὑπὸ ΞΖΠ· ἡ ἄρα ΟΛ ἴση φαίνεται τῇ ΠΞ, ὥστε παράλληλοι φανοῦνται αἱ ΛΞ ΒΔ [ἐπειδὴ αἱ μεταξὺ αὐτῶν κάθετοι ἴσαι φαίνονται].

103 νγʹ. Τούτου δεδειγμένου παραδοξότερόν τι πρόβλημα δυνατὸν ἀποδεῖξαι προτείνοντας οὕτως.

Θέσει ὄντος κύκλου καὶ ἐν τῷ ἐπιπέδῳ αὐτοῦ σημείου δοθέντος ἐντὸς τῆς περιφερείας τόπον εὑρεῖν τῇ ὄψει, ἀφ' οὗ τὸν κύκλον ἔλλειψιν ὄψεται κέντρον ἔχουσαν τὸ δοθὲν ἐντὸς τῆς περιφερείας σημεῖον.

Ἔστω γὰρ ὁ μὲν δοθεὶς κύκλος ὁ ΑΒΓΔ περὶ κέντρον τὸ Ε, τὸ δὲ δοθὲν ἐντὸς αὐτοῦ σημεῖον τὸ Ζ, καὶ sicut in recta $\lambda\xi$ demonstratum est. Iam dico rectas, quae a $\varkappa$ *per circulum* ducuntur, ipsi $\beta\delta$ parallelas apparere.

Ducatur enim exempli gratia $\lambda\varkappa$, et *ab* λ *ad* $\beta\varkappa$ perpendicularis λo, quae producatur ad ϱ, et iungantur $\vartheta\zeta$ $\zeta\pi$ $\zeta\varrho$. Iam quia est (*supra p. 591*)

$\lambda\varkappa : \varkappa\xi = \lambda\nu : \nu\xi$, *et* (*elem.* 6, 3)

$\lambda\nu : \nu\xi = \lambda\zeta : \zeta\xi$, et

$\lambda\varkappa : \varkappa\xi = \lambda\varrho : \xi\mu$ **), et

$\lambda\zeta = \zeta\varrho$, et $\zeta\xi = \zeta\mu$, est igitur *in triangulis aequicruribus* $\lambda\varrho\zeta$ $\xi\mu\zeta$

$\lambda\varrho : \xi\mu = \zeta\varrho : \zeta\mu$: *ergo similia sunt triangula* (*elem.* 6, 5): *itaque*

$\angle\, \lambda\zeta\varrho = \angle\, \xi\zeta\mu$. Ergo etiam *dimidii aequales sunt, id est* $\angle\, \lambda\zeta o = \angle\, \xi\zeta\pi$.

Ergo rectae $o\lambda$ $\pi\xi$ aequales apparent; itaque rectae $\lambda\xi$ $\beta\delta$ tamquam parallelae conspicientur *ex puncto* ζ (quoniam perpendiculares inter eas *ductae* aequales apparent).

LII. Hoc demonstrato admirabilius etiam problema ostendere possumus, quod sic proponimus.

Circulo positione dato et in eius plano puncto dato, intra circumferentiam locus oculo inveniatur, unde is circulum videat tamquam ellipsim, cuius centrum sit datum punctum intra circumferentiam. Prop. 54

Sit datus quidem circulus $\alpha\beta\gamma\delta$ circa centrum ε, punctum autem intus datum ζ, et locum invenire oporteat, unde

** Hanc ad proportionem demonstrandam caveamus, ne puncta ϱ μ $\varkappa$ in eadem recta esse facile supponamus. Nam, si iungatur $\varrho\mu$, recta quidem est $\varrho\mu\varkappa$, sed id neque ex ipsa constructione efficitur neque a scriptore demonstratur. Ergo suppleamus proportionem $\lambda\varkappa : \varkappa\xi = 2\,\lambda o : 2\,\xi\pi$ etc.

4. τῇ $\overline{\Gamma\Delta}$ ABS, corr. *Co Sca*   16. 17. ἐπειδὴ — φαίνονται interpolatori tribuit *Hu*   18. ΛB A[1] in marg. (BS   19. προσπίπτοντας S   24. ὁ $\overline{AB}$ $\overline{\Gamma\Delta}$ A, coniunx. BS

δέον ἔστω τόπον εὑρεῖν, ἀφ' οὗ ὁ κύκλος ἔλλειψις ὀφθήσεται κέντρον ἔχουσα τὸ Ζ σημεῖον. ἐπιζευχθεῖσα ἐπὶ τὸ κέντρον ἡ ΖΕ ἐκβεβλήσθω ἐφ' ἑκάτερα, καὶ ὀρθὴ αὐτῇ ἀπὸ τοῦ Ζ ἤχθω ἡ ΑΓ, καὶ ἀπὸ τῶν Α Γ ἐν τῷ ἐπιπέδῳ τοῦ κύκλου ἐφαπτόμεναι ἤχθωσαν αἱ ΑΘ ΘΓ, καὶ ἐπὶ τῆς ΖΘ ἡμικύκλιον γεγράφθω ὀρθὸν πρὸς τὸ τοῦ ΑΒΓΔ κύκλου ἐπίπεδον τὸ ΖΗΘ· λέγω δὴ ὅτι, ὁποῖον ἂν ληφθῇ σημεῖον ἐφ' ὅλης τῆς ΖΗΘ περιφερείας, πρὸς αὐτῷ τεθεῖσα ἡ ὄψις ἔλλειψιν ὄψεται τὸν κύκλον κέντρον ἔχουσαν τὸ Ζ.



Εἰλήφθω γὰρ τὸ Η σημεῖον καὶ ἐπεζεύχθωσαν αἱ ΗΒ ΗΖ ΗΔ ΗΘ. ἐπεὶ οὖν διὰ τὰς ἐφαπτομένας ἐστὶν ὡς ἡ ΒΘ πρὸς ΘΔ, ἡ ΒΖ πρὸς ΖΔ, καὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΖΗΘ γωνία, ἴση ἔσται ἡ ὑπὸ ΒΗΖ γωνία τῇ ὑπὸ ΖΗΔ· ἴση ἄρα φαίνεται ἡ ΒΖ τῇ ΖΔ. φανερὸν δὴ ὅτι καὶ ἡ ΑΖ τῇ ΖΓ ἴση φαίνεται. καὶ τοῖς προγεγραμμένοις ὁμοίως δειχθήσεται τῆς φαινομένης ἐλλείψεως κέντρον τὸ Ζ σημεῖον καὶ συζυγεῖς ἄξονες οἱ ΑΓ ΒΔ.

Εἰς τὰ φαινόμενα Εὐκλείδου.

104 νγ'. Ἐπὶ τοῦ β' θεωρήματος τῶν Εὐκλείδου φαινομένων παρεῖται καὶ διὰ τῆς ἀποδείξεως, ἐὰν ὁ πόλος τοῦ ὁρίζοντος μεταξὺ τῶν τροπικῶν ᾖ ἢ ἐπί τινος αὐτῶν, ποσάκις ὁ ζῳδιακὸς πρὸς ὀρθὰς ἔσται πρὸς τὸν ὁρίζοντα ἐν μιᾷ περιφορᾷ. διὸ ἀποδείξομεν ἡμεῖς ὅτι, ἐὰν μὲν ὁ πό-

6. τῶν ΑΓ A, distinx. BS 8. αἱ ΑΘ ΘΓ AB, corr. S 21. πρὸς ΘΔ] Θ corr. A² pro alia nescio qua littera 22. ἡ ὑπὸ ΒΗΖ] ΗΖ

circulus ellipsis videatur, cuius centrum sit ζ. Iungatur $\zeta\varepsilon$, quae in utramque partem producatur, eique perpendicularis a ζ ducatur $\alpha\gamma$, et ab α γ in circuli plano tangentes ducantur $\alpha\vartheta$ $\gamma\vartheta$, et in recta $\zeta\vartheta$ describatur semicirculus $\zeta\eta\vartheta$ ad circuli $\alpha\beta\gamma\delta$ planum perpendicularis; iam dico, si quodvis punctum in tota $\zeta\eta\vartheta$ circumferentia [1]) sumatur in eoque oculus constituatur, circulum visum iri ellipsim, cuius centrum est ζ.

Sumatur enim punctum η, et iungantur $\eta\beta$ $\eta\zeta$ $\eta\delta$ $\eta\vartheta$. Iam quia propter tangentes $\alpha\vartheta$ $\gamma\vartheta$ est $\beta\vartheta : \vartheta\delta = \beta\zeta : \zeta\delta$ (*VII propos. 154*), et angulus $\zeta\eta\vartheta$ rectus est, aequales igitur erunt anguli $\beta\eta\zeta$ $\zeta\eta\delta$ (*propter propos. 52 conversam*): ergo rectae $\beta\zeta$ $\zeta\delta$ aequales apparent. Atque item, *iunctis* $\alpha\eta$ $\eta\gamma$, manifestum est rectas $\alpha\zeta$ $\zeta\gamma$ aequales apparere. Et similiter atque in superioribus demonstrabitur eius quae apparet ellipsis centrum esse ζ axesque coniugatos $\alpha\gamma$ $\beta\delta$.

IN EUCLIDIS PHAENOMENA.

LIII. In secundo theoremate Euclidis phaenomenon *interpretes* demonstrare omiserunt, si horizontis polus vel inter tropicos vel in alterutro ipsorum sit, quotiens zodiacus in una *mundi* conversione rectus sit ad horizontem [2]). Quapropter nos *iam* demonstrabimus,

1) *Nimirum ipsis punctis* ζ ϑ *exceptis, quae sunt in circuli* $\alpha\beta\gamma\delta$ plano.

2) Comparantibus Euclidis phaenomena, quae nostra aetate exstant ex libris manuscriptis edita, non satis liquet, quid maxime omissum esse Pappus conqueratur. Sin vero quis in codicum scriptura, quae supra p. 474, 11 occurrit, illud *δὶς* retineri velit, quasi Pappus scripserit "quotiens bis rectus sit etc.", ne sic quidem ea quam statim notavimus difficultas levari videtur. Conf. etiam p. 604 adnot. 1.

corr. A² (A¹ iterum incerta) 23. τῆς $\overline{ZΔ}$ ABS, corr. *Sca* δὴ A¹ ex δὲ 23. 24. καὶ ἡ $\overline{ΔZ}$ ABS, corr. *Co Sca* 26. οἱ $\overline{AB}$ $\overline{ΓΔ}$ ABS, corr. *Co Sca* 27. titulum add. *S* 28. $\overline{NΓ}$ A¹ in marg. (BS) $\overline{B}$ A, δευτέρου BS 31. ζωιδιακὸς A, ζωδιακὸς BS, item posthac p. 596. 598

λος τοῦ ὁρίζοντος ἐπί τινος τῶν τροπικῶν ᾖ, ἅπαξ ὁ ζῳδιακός ἐστιν ὀρθὸς πρὸς τὸν ὁρίζοντα ἐν μιᾷ περιφορᾷ, ἐὰν δὲ μεταξὺ τῶν τροπικῶν, δίς.

105 *Ἔστω γὰρ ὁρίζων μὲν ὁ ΑΒΘ, θερινὸς δὲ τροπικὸς ὁ ΓΗ, χειμερινὸς δὲ ὁ ΒΘ, μεσημβρινὸς δὲ ὁ ΑΔΕ, ζῳδιακὸς δὲ ὁ ΒΖΗ, ὁ δὲ τοῦ ΑΒΘ ὁρίζοντος πόλος ἔστω ἐπὶ τοῦ θερινοῦ τροπικοῦ τὸ Δ· λέγω ὅτι ἐν μιᾷ περιφορᾷ ὁ ΒΖΗ ἅπαξ ἔσται ὀρθὸς πρὸς τὸν ΑΒΘ ὁρίζοντα.*

Ἐπεὶ γὰρ ἐν μιᾷ περιφορᾷ τὸ Η τὴν ΗΓ περιφέρειαν διέρχεται καὶ τὴν συνεχῆ αὐτῆς τὴν ὑπὸ γῆν καὶ ἐπὶ τὸ Η παραγίνεται, ἐν δὲ τῇ εἰρημένῃ διεξόδῳ τὸ Η ἅπαξ ἐπὶ τὸν Δ πόλον παραγίνεται καὶ ὁ ζῳδιακὸς θέσιν λαμβάνει τὴν ἐπὶ τοῦ ΚΔΛ, καὶ ἔσται ἅπαξ ὀρθὸς πρὸς τὸν ὁρίζοντα· διὰ γὰρ τῶν πόλων ἐστὶν αὐτοῦ.

106 *Ὁμοίως δὴ καί, ἐὰν ὁ πόλος τοῦ ὁρίζοντος ἐπὶ τοῦ χειμερινοῦ κύκλου ᾖ, ὡς ὁ Ε, ἅπαξ ἔσται ὁ ζῳδιακὸς ὀρθὸς πρὸς τὸν ὁρίζοντα. [φανερὸν γὰρ ὅτι οἱ δύο πόλοι τοῦ ὁρίζοντος οὐκ εἰσὶν ἐν τῷ τροπικῷ, ἤτοι τῷ θερινῷ ἢ τῷ χειμερινῷ· οὐ γὰρ τὴν διάμετρον τῆς σφαίρας δέχεται ἐλάσσων τις κύκλος τοῦ μεγίστου· ὥστε ἑκάτερος τῶν τροπικῶν μὴ ὢν διὰ τοῦ κέντρου τῆς σφαίρας τοὺς β' πόλους τοῦ ὁρίζοντος οὐ δέχεται· ὥστε τὸ Η ὑπόγειον γινόμενον οὐχ ἥξει διὰ τοῦ ἑτέρου πόλου τοῦ ὁρίζοντος, ἀλλ' ἑκάτερος τῶν τροπικῶν ἕνα δέχεται πόλον. ἐπεὶ γὰρ τὸ Η τῷ Β ἐστὶν κατὰ διάμετρον καὶ θέσιν ἔχει τὸ Η κατὰ τὸ Δ τὸν πόλον, καὶ τὸ Β ἄρα ὑπὸ γῆν τόπον ἕξει ἐν τῷ χειμερινῷ κατὰ τὸ διάμετρον τοῦ Δ τὸν ἕτερον πόλον τοῦ ὁρίζοντος· ὅτι κατὰ διάμετρόν ἐστιν τὸ Η τοῦ Β· ὥστε οὐδὲ ἐν τῷ ἑτέρῳ τῶν τροπικῶν εἰσιν οἱ δύο πόλοι τοῦ ὁρίζοντος, ἀλλ' ἑκάτερος ἐν ἑκατέρῳ τῶν τροπικῶν.]*

5. *ὁ ΒΘ* Co pro *ὁ ΒΕ* 9. *φορᾷ* et superscr. *περι* A[1] 13. *τοῦ ΚΔΛ* Co pro *τοῦ ΚΔΘ* 14. *διὰ — αὐτοῦ* conf. adnot. ad Lat. 17. *φανερὸν — 30. τροπικῶν* haec ad Pappi opus interpres quidam recentior addidisse videtur 22. *γενόμενοι* coni. *Hu* 25. 26. *κατὰ τὸν Δ πόλον* et 27. *κατὰ διάμετρον* alius quivis scriptor prudentior quam hic interpolator scripsisset

si polus horizontis in alterutro tropicorum sit, zodiacum semel in una conversione rectum esse ad horizontem, sin autem inter tropicos, bis.



Sit enim horizon $\alpha\beta\vartheta$, et aestivus tropicus $\gamma\eta$, hiemalis $\beta\vartheta$, et meridianus $\alpha\delta\varepsilon$, zodiacus $\beta\zeta\eta$, polus autem horizontis sit in aestivo tropico punctum δ; dico in una conversione circulum $\beta\zeta\eta$ semel rectum esse ad horizontem $\alpha\beta\vartheta$. Prop. 55

Quoniam enim punctum η in una *mundi* conversione et circumferentiam $\eta\gamma$ et eam sub terra quae ipsi continua est percurrit et *rursus* ad η pervenit, in hoc autem cursu punctum η semel ad polum δ pervenit zodiacusque positionem $\varkappa\delta\lambda$ sumit, hic igitur semel ad horizontem rectus erit; nam *semel tantum* per polos eius transit[1].

Similiter etiam, si polus horizontis, velut ε, in hiemali tropico sit, zodiacus semel rectus erit ad horizontem. [Nam manifestum est duos horizontis polos non esse in uno tropico, aut aestivo aut hiemali. Neque enim sphaerae diametrum circulus ullus minor maximo in se recipit; quapropter uterque tropicorum, quippe qui non transeat per centrum sphaerae, duos horizontis polos non recipit; itaque punctum η, cum sub terram venerit, non per alterum horizontis polum ibit, sed uterque tropicorum unum tantummodo polum recipit. Nam quia punctum η ipsi β per diametrum oppositum est positionemque ad polum δ sumit, ergo etiam punctum β, cum sub terram venerit, in hiemali tropico locum habebit ad polum qui ipsi δ per diametrum oppositus est (scilicet η ipsi β ad diametrum est *oppositum*); itaque in neutro tropicorum duo horizontis poli sunt, sed unus in utroque.]

1) Sive ab ipso Pappo sive ab interprete aliquo Graeca *διὰ γὰρ τῶν πόλων ἐστὶν αὐτοῦ* scripta sunt, his citatur Theodosii sphaeric. I propositio 15.

107 *νδ΄. Ἔστω δὴ ὁ πόλος μεταξὺ τῶν τροπικῶν, ὡς ὁ Θ· λέγω ὅτι ὁ ζῳδιακὸς δὶς γίνεται ὀρθὸς πρὸς τὸν ὁρίζοντα ἐν μιᾷ περιφορᾷ.*



Προσαναγεγράφθω γὰρ ὁ ζῳδιακὸς κύκλος, καὶ ἔστω ὁ ΒΜΗ, ἔστω δὲ καθ᾽ οὗ φέρεται παραλλήλου κύκλου τὸ Θ σημεῖον ὁ ΜΛΟ. τοῦ δὴ Λ ἐπὶ τὸν Θ πόλον παραγενομένου ὁ ΗΜΒ ζῳδιακὸς θέσιν λαβὼν τὴν ἐπὶ τοῦ ΝΘΞ ὀρθὸς γίνεται τὸ πρῶτον πρὸς τὸν ὁρίζοντα. πάλιν τοῦ Μ τὴν ΜΟΘ περιφέρειαν διελθόντος κατὰ τὴν συστροφὴν καὶ ἐπὶ τὸν Θ πόλον παραγενομένου ὁ ζῳδιακὸς θέσιν λαβὼν τὴν ἐπὶ τοῦ ΚΘΠ ὀρθὸς τὸ δεύτερον ἔσται πρὸς τὸν ὁρίζοντα. [μόνα γὰρ τὰ Μ Λ σημεῖα τῶν ἐπὶ τοῦ ζῳδιακοῦ κύκλου καὶ τοῦ παραλλήλου (τὰ Μ Λ κατὰ τοῦ ΜΟΛ κύκλου φέρεται), καὶ δὶς μόνον ποιήσει τὸν ζῳδιακὸν κύκλον ὀρθὸν πρὸς τὸν ὁρίζοντα διὰ τοῦ Θ ἐλθόντα πόλου ἐν μιᾷ περιφορᾷ κόσμου· ἑκάτερον γὰρ τῶν Μ Λ ἐν μιᾷ στροφῇ ὅλον τὸν κύκλον τὸν ΜΟΛ διέρχεται· ὥστε καὶ πάντα τὰ ἐπὶ τῆς περιφερείας σημεῖα τοῦ κύκλου διέρχεται ἐν μιᾷ στροφῇ τὰ Μ Λ· ὥστε καὶ τὸ Θ σημεῖον διέρχεται ἐν μιᾷ στροφῇ ἑκάτερον τῶν Μ Λ.]

108 *νε΄. Ἐπὶ δὲ τοῦ ιβ΄ θεωρήματός φησιν ὁ Εὐκλείδης τοῦ μετὰ τὸν καρκίνον ἡμικυκλίου αἱ ἴσαι περιφέρειαι ἐν*

LIV. Iam sit *horizontis* polus, velut ϑ, inter tropicos; dico zodiacum in una *mundi* conversione bis rectum fieri ad horizontem. Prop. 56

Describatur enim circulus zodiacus $\beta\mu\nu\eta$ *), sitque $\mu\lambda o$ parallelus circulus in quo punctum ϑ fertur. Iam cum punctum λ ad ϑ polum pervenit, zodiacus $\beta\mu\eta$, sumptà positione $\nu\vartheta\xi$, primum fit rectus ad horizontem (*Theod. sphaer. 1, 15*). Rursus cum punctum μ in *mundi* conversione circumferentiam $\mu o\vartheta$ percurrerit et ad polum ϑ pervenerit, zodiacus, sumptà positione $\varkappa\vartheta\pi$, iterum rectus erit ad horizontem. [Nam *in ea zodiaci positione quam primum descripsimus* puncta zodiaci μ λ sola sunt communia cum circulo parallelo, eaque bis tantummodo in una mundi conversione per polum ϑ transeuntia zodiacum rectum ad horizontem efficient: nam utrumque punctorum μ λ in una conversione totum circulum $\mu o\lambda$ percurrit; itaque omnia puncta quae sunt in circuli circumferentia in una conversione per μ λ transeunt; quapropter etiam punctum ϑ in una conversione per utrumque punctorum μ λ transit.]

LV. In theoremate XII Euclides "semicirculi" inquit "qui post cancrum est aequales circumferentiae occidunt inaequa-

*) Figuram talem fere exhibemus qualem ex corruptis codicum lineis restituere conatus est Commandinus. At vero alia ratio emendatior restat ut quaeratur, cuius difficultas non tam in lineis recte ducendis, quam in litteris geometricis convenienter ad contextum scriptoris distribuendis posita est. Conf. adnot. 1 ad propos. 58.

1. *ΝΔ* A¹ in marg. (BS) 6. *ὁ ΜΔΟ*] *ὁ ΜΔΘ* ABS cod. *Co*, *ὁ ΜΟΔ* *Co* *δὴ* *Hu* auctore *Co* pro *δὲ* 9. *διελόντος* A¹, corr. A² 9. 10. *τὴν στροφὴν* coni. *Hu* 11. *ἐπὶ τοῦ ΚΘΗΓ* voluit *Co* *δεύτερον* S, *Β̄* A, *β* B 12. *μόνα* — 20. *τῶν ΜΔ*] haec eidem interpreti, qui paulo supra nonnulla addidit, tribuenda esse videntur 12. *τὰ ΜΔ*] *τὰ ΔΟ* A, distinx. BS, *τὰ ΔΜ* *Co* 13. 14. *τὰ ΜΔ* — *φέρεται* del. *Hu* 15. *τὰ ΜΔ* et 16. *τῶν ΜΔ* A, distinx. BS 16. *πόλον* *Hu* auctore *Co* pro *πόλον* 19. *τὰ ΜΔ* et 20. *τῶν ΜΔ* A, distinx. B *τὰ λ̄ μ* et *τῶν λ̄ μ* S 21. *ΝΕ* A¹ in marg. (BS) *ΙΒ* A, *ιβ^{ον}* B, *δωδεκάτου* S

ἀνίσοις χρόνοις δύνουσιν, καὶ ἐν μεγίστοις αἱ πρὸς ταῖς συναφαῖς τῶν τροπικῶν, ἐν ἐλαχίστοις δὲ αἱ πρὸς τῷ ἰσημερινῷ, ἐν ἴσοις δὲ χρόνοις αἱ ἴσον ἀπέχουσαι τοῦ ἰσημερινοῦ". ζητεῖται δὲ διὰ τί περὶ μὲν τῆς καταδύσεως τούτων τῶν περιφερειῶν λέγει, περὶ δὲ τῆς ἀνατολῆς οὐκέτι. ἐπαναβέβηκε γὰρ ἡ ζήτησις [καὶ ἀνετράπη] εἰς τοὺς ἀνατολικοὺς διορισμούς, ἔστιν δὲ ὅλη ἡ πραγματεία τοιαύτη· εὑρεῖν οἴκησιν ἐν ᾗ λόγου χάριν ὁ καρκίνος τῷ λέοντι ἐν
109 *ἴσοις χρόνοις ἀνατέλλει [πρὸς τὸ ἄνω]. Ἵππαρχος δὲ ἐν τῷ περὶ τῆς τῶν ιβ´ ζῳδίων ἀναφορᾶς συναποδείκνυσιν δι' ἀριθμῶν ὅτι οὐχ ὥσπερ δύνουσιν αἱ ἴσαι περιφέρειαι τοῦ μετὰ τὸν καρκίνον ἡμικυκλίου ἔχουσαί τινα πρὸς ἀλλήλας χρόνου σύγκρισιν, οὕτως καὶ αὗται ἀνατέλλουσιν. εἶναι γάρ τινας οἰκήσεις, ἐν αἷς τῶν ἴσων περιφερειῶν τοῦ μετὰ τὸν καρκίνον ἡμικυκλίου αἰεὶ αἱ ἔγγιον τοῦ ἰσημερινοῦ ἐν πλείονι χρόνῳ ἀνατέλλουσιν τῶν πρὸς ταῖς συναφαῖς τῶν τροπικῶν. διὰ τοῦτο οὖν καὶ αὐτὸς ἐπὶ τῶν ἴσον ἀπεχουσῶν ἀπὸ τοῦ ἰσημερινοῦ εἴρηκεν ἐν ἴσοις χρόνοις καὶ τὰς ἀνατολὰς γίνεσθαι. τοῦτο δὲ συμφανὲς ἐκ τῶν ἐν τοῖς φαινομένοις δεικνυμένων. ὁμοίως δὲ καὶ "τοῦ μετὰ τὸν αἰγόκερω" φησιν "ἡμικυκλίου αἱ ἴσαι περιφέρειαι ἐν ἀνίσοις χρόνοις ἀνατέλλουσιν, καὶ ἐν πλείστοις μὲν αἱ πρὸς ταῖς συναφαῖς, ἐν ἐλάττοσι δὲ αἱ ἑξῆς τούτων, ἐν ἐλαχίστοις δὲ αἱ πρὸς τῷ ἰσημερινῷ, ἐν ἴσοις δὲ αἱ ἴσον ἀπ-*
110 *έχουσαι τοῦ ἰσημερινοῦ". περὶ δὲ δύσεως αὐτῶν οὐδὲν λέγει· ὁ γὰρ λόγος τῆς ἀποδείξεως ἐμπίπτει εἰς τοὺς ἀνατολικοὺς διορισμούς, καὶ ἔστιν ἤδη πραγματεία περὶ τού-*

2. *τοῦ* $\overline{\alpha\delta\gamma}$ *τριγώνου* S 2. 3. *καὶ τὸ ΖΓΗ — ΑΓΔ τριγώνου* add. A[2] in marg. (BS) 5. *εἶναι* add. *Hu* 10. *ἀπὸ* et 11. *ἡ ΕΖ* add. *Hu* auctore *Co* 11. *ἡ ΕΖ εἰς χωρίου ἀποτομήν*] pro his secundum illa quae in compositione sequuntur in promptu est conicere: *ἡ ΕΖ χωρίον ἀποτέμνουσα τὸ ὑπὸ ΖΓΗ ἴσον δοθέντι χωρίῳ τῷ διπλασίονι τοῦ ὑπὸ ΑΓΔ*; verum ne expellamus libros de sectione spatii disertis verbis citatos et brevitatem paene contortam concedamus Graeco scriptori res notas gnaris lectoribus significanti 15. *εἰς θέσει τὰς* $\overline{\zeta\gamma\eta}$ ABS, corr. *Co* 16. *δοθέντινι χωρίωι τῶι διπλάσιον* A(BS), corr. *Co* 17. *τὴν ἀνάλυσιν* ABS, corr. *Co* 22. *α΄*] *β΄* BS, om. A *ὁ* $\overline{\alpha\beta\gamma}$ *κύκλος* ABS, corr. *Co* 26. *δέον* ante *ἔστω* add. *Hu*

grammo $\alpha\gamma\delta\beta$ aequale, et idem parallelogrammum duplum est trianguli $\alpha\gamma\delta$, ergo etiam triangulum $\zeta\gamma\eta$ duplum est trianguli $\alpha\gamma\delta$. Sed, quia haec triangula sunt circa eundem angulum γ, *propter superius lemma* XX est $\Delta\, \zeta\gamma\eta : \Delta\, \alpha\gamma\delta = \zeta\gamma \cdot \gamma\eta : \alpha\gamma \cdot \gamma\delta$. Sed datum est $\alpha\gamma \cdot \gamma\delta$: ergo etiam $\zeta\gamma \cdot \gamma\eta$ datum. Et a dato puncto ε ad positione datas $\alpha\gamma$ $\gamma\delta$ ducta est $\varepsilon\zeta$ *abscindens rectas* $\zeta\gamma$ $\gamma\eta$, *quae continent spatium aequale dato spatio, videlicet duplo ipsius* $\alpha\gamma \cdot \gamma\delta$*, *estque problema deductum* ad spatii sectionem [1]. Ergo positione data est $\varepsilon\zeta$.

Componetur *problema* sic. Sit parallelogrammum positione datum $\alpha\gamma\delta\beta$, et datum punctum ε. Ducatur ab ε ad positione datas $\zeta\gamma$ $\gamma\delta$ recta $\varepsilon\zeta$ abscindens *rectas* $\zeta\gamma$ $\gamma\eta$, *quae continent* spatium $\zeta\gamma \cdot \gamma\eta$ aequale dato spatio, *videlicet* duplo ipsius $\alpha\gamma \cdot \gamma\delta$; et eadem ratione atque in analysi demonstrabimus triangulum $\zeta\gamma\eta$ parallelogrammo $\alpha\gamma\delta\beta$ aequale esse; ergo recta $\varepsilon\zeta$ problema efficit, eademque, ut manifestum est, sola, quia illa quoque *quae in spatii sectione construitur* sola *illud problema efficit* [2].

* * *

LEMMATA IN CONICORUM LIBRUM I.

I [**]. Sit conus, cuius basis circulus $\alpha\beta$, et vertex punctum γ. Iam si isosceles conus est, omnes rectas quae a puncto γ ad circuli $\alpha\beta$ circumferentiam ducuntur inter se aequales esse apparet; sin vero obliquus est, inveniatur, quae sit maxima quaeque minima. Prop. 165

*) Haec addit Simsonus p. 529 secundum ea quae statim in compositione sequuntur.

1) Est libri primi de sectione spatii ab Halleio restituti loci tertii casus primus (p. 145); sed commodius ad hoc Pappi problema conferetur Simsoni de porism. propositio LXXVIII (p. 527 sq.).

2) Sic Graeca in brevissimum concisa explicanda esse iudicavimus; demonstrantur autem ab eodem Simsono p. 528 sq.

**) Numeri lemmatum in hac quae sequitur Latina interpretatione secundum Halleium positi sunt.



Ἤχθω γὰρ ἀπὸ τοῦ Γ σημείου ἐπὶ τὸ τοῦ ΑΒ κύκλου ἐπίπεδον κάθετος, καὶ πιπτέτω πρότερον ἐντὸς τοῦ ΑΒ κύκλου, καὶ ἔστω ἡ ΓΔ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Ε, καὶ ἐπιζευχθεῖσα ἡ ΔΕ ἐκβεβλήσθω ἐφ᾽ ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Α Β σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ ΓΒ· λέγω ὅτι μεγίστη μέν ἐστιν ἡ ΒΓ, ἐλαχίστη δὲ ἡ ΑΓ πασῶν τῶν ἀπὸ τοῦ Γ πρὸς τὸν ΑΒ προσπιπτουσῶν.

Προσβεβλήσθω γάρ τις καὶ ἑτέρα ἡ ΓΖ, καὶ ἐπεζεύχθω ἡ ΔΖ· μείζων ἄρα ἐστὶν ἡ ΒΔ τῆς ΔΖ. κοινὴ δὲ ἡ ΓΔ, καὶ εἰσὶν αἱ πρὸς τῷ Δ γωνίαι ὀρθαί· μείζων ἄρα ἐστὶν ἡ ΒΓ τῆς ΓΖ. κατὰ τὰ αὐτὰ καὶ ἡ ΓΖ τῆς ΓΑ μείζων ἐστίν· ὥστε μεγίστη μέν ἐστιν ἡ ΓΒ, ἐλαχίστη δὲ ἡ ΓΑ.

234 β΄. Ἀλλὰ δὴ πάλιν ἡ ἀπὸ τοῦ Γ κάθετος ἀγομένη πιπτέτω ἐπὶ τῆς περιφερείας τοῦ ΑΒ κύκλου, καὶ ἔστω ἡ ΓΑ, καὶ πάλιν ἐπὶ τὸ κέντρον τοῦ κύκλου τὸ Δ ἐπεζεύχθω ἡ ΑΔ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Β, καὶ ἐπεζεύχθω ἡ ΒΓ· λέγω ὅτι μεγίστη μέν ἐστιν ἡ ΒΓ, ἐλαχίστη δὲ ἡ ΑΓ.

Ὅτι μὲν οὖν μείζων ἡ ΓΒ τῆς ΓΑ φανερόν, διήχθω δέ τις καὶ ἑτέρα ἡ ΓΕ, καὶ ἐπεζεύχθω ἡ ΑΕ. ἐπεὶ διάμετρός ἐστιν ἡ ΑΒ, μείζων ἐστὶν τῆς ΑΕ. καὶ αὐταῖς πρὸς ὀρθὰς ἡ ΑΓ· μείζων ἄρα ἐστὶν ἡ ΓΒ τῆς ΓΕ. ὁμοίως καὶ πασῶν. καὶ κατὰ τὰ αὐτὰ μείζων δειχθήσεται ἡ ΕΓ τῆς ΓΑ· ὥστε μεγίστη μὲν ἡ ΒΓ, ἐλαχίστη δὲ ἡ ΓΑ τῶν ἀπὸ τοῦ Γ σημείου πρὸς τὸν ΑΒ κύκλον προσπιπτουσῶν εὐθειῶν.

235 γ΄. Τῶν αὐτῶν ὑποκειμένων πιπτέτω ἡ κάθετος ἐκτὸς τοῦ κύκλου, καὶ ἔστω ἡ ΓΔ, καὶ ἐπὶ τὸ κέντρον τοῦ κύκλου τὸ Ε ἐπιζευχθεῖσα ἡ ΔΕ ἐκβεβλήσθω, καὶ ἐπεζεύχθωσαν

2. κύκλου ἐπίπεδον — 4. τοῦ ΑΒ add. A²BS   8. τὰ ΑΒ σημεῖα A, distinx. BS   10. ἐστιν ἡ ΓΒ Ha   14. ἡ ΒΔ τῆς ΔΖ ABS, corr

Ducatur enim a puncto γ ad circuli $\alpha\beta$ planum perpendicularis $\gamma\delta$, quae primum intra $\alpha\beta$ circulum cadat, et sumatur circuli centrum ε, et iuncta $\delta\varepsilon$ producatur in utramque partem secetque circumferentiam in punctis α β, et iungantur $\alpha\gamma$ $\gamma\beta$; dico rectam $\beta\gamma$ maximam, $\alpha\gamma$ minimam esse omnium quae a puncto γ ad circuli $\alpha\beta$ circumferentiam ducuntur.

Ducatur enim alia quaevis $\gamma\zeta$, iungaturque $\delta\zeta$; est igitur $\beta\delta > \delta\zeta$ (*elem.* 3, 7). Et communis est $\gamma\delta$, angulique ad δ recti; ergo est $\beta\gamma > \gamma\zeta$. Eadem ratione est etiam $\gamma\zeta > \gamma\alpha$; itaque maxima *omnium* est $\beta\gamma$, minima $\alpha\gamma$.

Sed rursus perpendicularis a puncto γ ducta in ipsam $\alpha\beta$ circuli circumferentiam cadat, sitque $\gamma\alpha$, et rursus ad circuli centrum δ ducatur $\alpha\delta$, quae producta circumferentiam secet in β, et iungatur $\beta\gamma$; dico maximam esse $\beta\gamma$, minimam $\alpha\gamma$. Prop. 166



Iam primum apparet esse $\gamma\beta > \gamma\alpha$; ducatur autem *ad circumferentiam* alia quaevis $\gamma\varepsilon$, et iungatur $\alpha\varepsilon$. Quia $\alpha\beta$ diametrus est, maior est quam $\alpha\varepsilon$ (*elem.* 3, 15). Et ipsis $\alpha\beta$ $\alpha\varepsilon$ perpendicularis est $\alpha\gamma$; ergo $\gamma\beta > \gamma\varepsilon$. Item $\gamma\beta$ maior est *ceteris* omnibus. Et eadem ratione demonstrabitur esse $\varepsilon\gamma > \gamma\alpha$; ergo $\beta\gamma$ maxima, $\alpha\gamma$ minima est omnium rectarum quae a puncto γ ad circuli $\alpha\beta$ circumferentiam ducuntur.

Iisdem suppositis perpendicularis extra circulum cadat, sitque $\gamma\delta$, *et ad circuli centrum ε ducta $\delta\varepsilon$ producatur secetque circumferentiam in punctis α β*, et iungantur $\alpha\gamma$ $\beta\gamma$: iam Prop. 167

Ha 18. β'] γ' BS, om. A 19. τοῦ κύκλου *AB Ha* ἡ ante *ΓΔ* om. B *Ha* 26. ἄρα add. *Ha* 28. μεγίστης ABS, corr. *Ha* auctore *Co* 31. γ'] δ' BS, om. A *αἱ ΑΓ ΒΓ· λέγω δὴ ὅτι μεγίστη μέν ἐστιν ἡ ΒΓ, ἐλαχίστη δὲ ἡ ΑΓ πασῶν τῶν ἀπὸ τοῦ Γ πρὸς τὸν ΑΒ κύκλον προσπιπτουσῶν εὐθειῶν.*

Ὅτι μὲν οὖν μείζων ἐστὶν ἡ ΒΓ τῆς ΓΑ φανερόν, λέγω δὲ ὅτι καὶ πασῶν τῶν ἀπὸ τοῦ Γ πρὸς τὴν τοῦ ΑΒ κύκλου περιφέρειαν προσπιπτουσῶν. προσπιπτέτω γάρ τις καὶ ἑτέρα ἡ ΓΖ, καὶ ἐπεζεύχθω ἡ ΔΖ. ἐπεὶ οὖν διὰ τοῦ κέντρου ἐστὶν ἡ ΒΔ, μείζων ἐστὶν ἡ ΔΒ τῆς ΔΖ. καὶ ἔστιν αὐταῖς ὀρθὴ ἡ ΔΓ, ἐπεὶ καὶ τῷ ἐπιπέδῳ· μείζων ἄρα ἐστὶν ἡ ΒΓ τῆς ΓΖ. ὁμοίως καὶ πασῶν. μεγίστη μὲν ἄρα ἐστὶν ἡ ΓΒ, ὅτι δὲ καὶ ἡ ΑΓ ἐλαχίστη. ἐπεὶ γὰρ ἐλάσσων ἐστὶν ἡ ΑΔ τῆς ΔΖ, καὶ ἔστιν αὐταῖς ὀρθὴ ἡ ΔΓ, ἐλάσσων ἄρα ἐστὶν ἡ ΑΓ τῆς ΓΖ. ὁμοίως καὶ πασῶν. ἐλαχίστη ἄρα ἐστὶν ἡ ΑΓ, μεγίστη δὲ ἡ ΒΓ πασῶν τῶν ἀπὸ τοῦ Γ πρὸς τὴν τοῦ ΑΒ κύκλου περιφέρειαν προσπιπτουσῶν εὐθειῶν.

Εἰς τοὺς κωνικοὺς ὅρους.

236 *"Ἐὰν ἀπό τινος σημείου πρὸς κύκλου περιφέρειαν" εἰκότως ὁ Ἀπολλώνιος προστίθησιν "ἐφ' ἑκάτερα προσεκβληθῇ", ἐπειδήπερ τοῦ τυχόντος κώνου γένεσιν δηλοῖ. εἰ μὲν γὰρ ἰσοσκελὴς ὁ κῶνος, περισσὸν ἦν προσεκβάλλειν διὰ τὸ τὴν φερομένην εὐθεῖαν αἰεί ποτε ψαύειν τῆς τοῦ κύκλου περιφερείας, ἐπειδήπερ πάντοτε τὸ σημεῖον ἴσον ἀφέξειν ἔμελλεν τῆς τοῦ κύκλου περιφερείας. ἐπεὶ δὲ δύναται καὶ σκαληνὸς εἶναι ὁ κῶνος, ἔστιν δέ, ὡς προγέγραπται, ἐν κώνῳ σκαληνῷ μεγίστη τις καὶ ἐλαχίστη πλευρά, ἀναγκαίως προστίθησιν τὸ "προσεκβληθῇ", ἵνα αἰεὶ προσ-*

1. *δὴ ὅτι* AS, *ὅτι* B^{s}V, *ὅτι δὴ Ha* 2. *τὸν* $\overline{AB\Gamma}$ *κύκλον* ABS, corr. *Ha* auctore *Co* 5. *δὲ Hu* pro *δὴ* 11. *ἐλάσσων Ha* pro *ἐλαχίστη*, item vs. 12 12. *ἔστι καὶ αὐταῖς Ha* 17 — p. 924, 3. hoc scholion non ab ipso Pappo scriptum esse videtur 18. numerum *ϛ'* praefigunt BS 19. *ἐφ' ἑκάτερα προσεκβληθῇ* Apollon. conic. 1 defin. 1, *καὶ ἐφ' ἑκάτερα ἐκβληθῇ* ABS 22. *τὸ* add. *Hu* *αιει* (sine spir. et acc.) A

dico maximam esse $\beta\gamma$, minimam $\alpha\gamma$ omnium rectarum quae a puncto γ ad circuli $\alpha\beta$ circumferentiam ducuntur.



Iam primum apparet esse $\beta\gamma > \gamma\alpha$; sed dico eandem $\beta\gamma$ maiorem esse omnibus *quae a puncto γ ad circuli* $\alpha\beta$ circumferentiam ducuntur. Ducatur enim alia quaevis $\gamma\zeta$, et iungatur $\delta\zeta$. Iam quia $\beta\delta$ per centrum transit (*elem.* 3, 8), est $\beta\delta > \delta\zeta$. Et his ipsis perpendicularis est $\delta\gamma$, quoniam etiam plano *circuli perpendicularis est*; ergo $\beta\gamma > \gamma\zeta$. Item $\beta\gamma$ maior est *ceteris* omnibus Maxima igitur est $\beta\gamma$: sed *demonstretur* etiam minimam esse $\alpha\gamma$. Quia enim $\alpha\delta$ minor est quam $\delta\zeta$ (*elem.* 3, 8), et his ipsis perpendicularis $\delta\gamma$, minor igitur est $\alpha\gamma$ quam $\gamma\zeta$. Item etiam *ceteris* omnibus. Ergo $\alpha\gamma$ minima, $\beta\gamma$ maxima est omnium rectarum quae a puncto γ ad circuli $\alpha\beta$ circumferentiam ducuntur.

In conicas definitiones.

In conicorum I libri defin. I ad verba "si ab aliquo puncto ad circuli circumferentiam" iure Apollonius addit "in utramque partem producatur", quoniam cuiuslibet coni originem explicat. Nam si isosceles conus *esset*, supervacaneum esset *rectam* producere, quia haec ipsa, cum convertitur, circuli circumferentiam perpetuo tangeret, quippe cum punctum *manens* semper aequali intervallo a circuli circumferentia distaret. Sed quia etiam obliquus conus esse potest, in quo, ut supra demonstratum est, et maximum aliquod et minimum latus exstat, necessario illud "producatur" adiicit, ut quae minima

(*Ha*), ἀεὶ BS 24. δὲ A² ex δ· 27. *προσεκβληθῇ Ha* pro προσεκβεβλήσθω αἰεὶ sine spir. et acc. A (*Ha* BS) ἐκβληθεῖσα ἡ ἐλαχίστη [ἀεὶ τῆς μεγίστης] αὔξηται [προσεκβαλλομένης], ἕως ἴση γένηται τῇ μεγίστῃ καὶ ψαύσῃ κατ' ἐκεῖνο τῆς τοῦ κύκλου περιφερείας.

237 δʹ. Ἔστω γραμμὴ ἡ ΑΒΓ, καὶ θέσει ἡ ΑΓ, πᾶσαι δὲ αἱ ἀπὸ τῆς γραμμῆς ἐπὶ τὴν ΑΓ κάθετοι [ἀγόμεναι] οὕτως ἀγέσθωσαν, ὥστε τὸ ἀπὸ ἑκάστης αὐτῶν τετράγωνον ἴσον εἶναι τῷ περιεχομένῳ ὑπὸ τῶν τῆς βάσεως τμημάτων ἀφ' ἑκάστης αὐτῶν τμηθέντων· λέγω ὅτι κύκλου περιφέρειά ἐστιν ἡ ΑΒΓ, διάμετρος δὲ αὐτῆς ἐστιν ἡ ΑΓ.

Ἤχθωσαν γὰρ ἀπὸ σημείων τῶν Δ Β Ε κάθετοι αἱ ΔΖ ΒΗ ΕΘ· τὸ μὲν ἄρα ἀπὸ ΔΖ ἴσον ἐστὶν τῷ ὑπὸ ΑΖΓ, τὸ δὲ ἀπὸ ΒΗ τῷ ὑπὸ ΑΗΓ, τὸ δὲ ἀπὸ ΕΘ τῷ ὑπὸ ΑΘΓ. τετμήσθω δὴ δίχα ἡ ΑΓ κατὰ τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΚ ΚΒ ΚΕ. ἐπεὶ οὖν τὸ ὑπὸ ΑΖΓ μετὰ τοῦ ἀπὸ ΖΚ ἴσον ἐστὶν τῷ ἀπὸ ΑΚ, ἀλλὰ τῷ ὑπὸ ΑΖΓ ἴσον ἐστὶν τὸ ἀπὸ ΔΖ, τὸ ἄρα ἀπὸ ΔΖ μετὰ τοῦ ἀπὸ ΖΚ, τουτέστιν τὸ ἀπὸ ΔΚ, ἴσον ἐστὶν τῷ ἀπὸ ΑΚ· ἴση ἄρα ἐστὶν ἡ ΑΚ τῇ ΚΔ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἑκατέρα τῶν ΒΚ ΕΚ ἴση ἐστὶν τῇ ΑΚ ἢ τῇ ΚΓ· κύκλου ἄρα περιφέρειά ἐστιν ἡ ΑΒΓ τοῦ περὶ κέντρον τὸ Κ, τουτέστιν τοῦ περὶ διάμετρον τὴν ΑΓ.

238 εʹ. Τρεῖς παράλληλοι αἱ ΑΒ ΓΔ ΕΖ, καὶ διήχθωσαν εἰς αὐτὰς δύο εὐθεῖαι αἱ ΑΗΖΓ ΒΗΕΔ· ὅτι γίνεται ὡς τὸ ὑπὸ ΑΒ ΕΖ πρὸς τὸ ἀπὸ ΓΔ, οὕτως τὸ ὑπὸ ΑΗΖ πρὸς τὸ ἀπὸ ΗΓ τετράγωνον.



Ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΖΕ, τουτέστιν ὡς τὸ ὑπὸ ΑΒ ΖΕ πρὸς τὸ ἀπὸ ΖΕ, οὕτως ἡ ΑΗ πρὸς τὴν ΗΖ, τουτέστιν τὸ ὑπὸ ΑΗΖ πρὸς τὸ ἀπὸ ΗΖ, ὡς ἄρα τὸ ὑπὸ ΑΒ ΖΕ πρὸς τὸ ἀπὸ ΖΕ, οὕτως τὸ ὑπὸ ΑΗΖ πρὸς τὸ ἀπὸ ΗΖ. ἀλλὰ καὶ ὡς τὸ ἀπὸ ΖΕ πρὸς

1. ἀεὶ τῆς μεγίστης et προσεκβαλλομένης del. *Ha* 4. δʹ] ϛʹ BS, om. A 5. ἀγόμεναι BS, ἀγόμενοι A, del. *Hu* 7. ἀφ' *Ha*, ὑφ' A, ἐφ' B*S 8. αὐτῶν τμηθέντων *Ha*. ἀπὸ τῶν τμηθέντων ABV, ἀπὸ

est usque eo producta augeatur, quoad maximae aequalis fiat et propterea circuli circumferentiam *semper* contingat.

II. Sit linea $\alpha\beta\gamma$, et positione *data* $\alpha\gamma$, et omnes a linea $\alpha\beta\gamma$ ad rectam $\alpha\gamma$ perpendiculares ita ducantur, ut uniuscuiusque quadratum aequale sit rectangulo baseos segmentis, quae a singulis *perpendicularibus* efficiuntur, contento: dico lineam $\alpha\beta\gamma$ *dimidiam* circuli circumferentiam, eiusque diametrum $\alpha\gamma$ esse. Prop. 168



Ducantur enim a punctis δ β ε perpendiculares $\delta\zeta$ $\beta\eta$ $\varepsilon\vartheta$: est igitur *ex hypothesi* $\delta\zeta^2 = \alpha\zeta \cdot \zeta\gamma$, et $\beta\eta^2 = \alpha\eta \cdot \eta\gamma$, et $\varepsilon\vartheta^2 = \alpha\vartheta \cdot \vartheta\gamma$. Iam $\alpha\gamma$ bifariam secetur in puncto $\varkappa$, et iungantur $\varkappa\delta$ $\varkappa\beta$ $\varkappa\varepsilon$. Iam quia *propter elem.* 2, 5 est $\alpha\zeta \cdot \zeta\gamma + \zeta\varkappa^2 = \alpha\varkappa^2$, et *ex hypothesi* $\alpha\zeta \cdot \zeta\gamma = \delta\zeta^2$, est igitur $\delta\zeta^2 + \zeta\varkappa^2 = \alpha\varkappa^2$, id est $\delta\varkappa^2 = \alpha\varkappa^2$; itaque $\varkappa\delta = \alpha\varkappa$. Similiter demonstrabimus et $\beta\varkappa$ et $\varepsilon\varkappa$ aequalem esse rectae $\alpha\varkappa$ vel $\varkappa\gamma$; ergo linea $\alpha\beta\gamma$ est *dimidia* circumferentia circuli, cuius centrum $\varkappa$, id est circuli circa diametrum $\alpha\gamma$ *descripti*.

III. Tres parallelae $\alpha\beta$ $\gamma\delta$ $\zeta\varepsilon$, in easque ducantur duae rectae $\alpha\eta\zeta\gamma$ $\beta\eta\varepsilon\delta$ *); dico esse $\alpha\beta \cdot \zeta\varepsilon : \gamma\delta^2 = \alpha\eta \cdot \eta\zeta : \eta\gamma^2$. Prop 169

Quoniam enim est $\alpha\beta : \zeta\varepsilon = \alpha\eta : \eta\zeta$, *per multiplicationem* est igitur



*) Praeter illam quae p. 924 descripta est in codice exstat haec altera, quam si sequimur supra reponendum est "rectae $\alpha\gamma\zeta\eta$ $\beta\delta\varepsilon\eta$".

τῶν τμημάτων S 10. τῶν ΑΒΓ A, distinx. BS 13. δή] δὲ Ha 14. αἱ ΚΔ Ha 18. δή] δὲ Hu 20. τοῦ (ante περὶ κέντρον et ante περὶ διάμετρον) Ha pro τῆς 22. ε'] ζ' BS, om. AV 23. αἱ ΑΗ ΖΓ ΒΗ ΕΔ A, corr. BS *τὸ ἀπὸ ΓΔ, οὕτως ἐστὶν τὸ ἀπὸ ΖΗ πρὸς τὸ ἀπὸ ΗΓ· δι' ἴσου ἄρα ἐστὶν ὡς τὸ ὑπὸ ΑΒ ΖΕ πρὸς τὸ ἀπὸ ΓΔ τετράγωνον, οὕτως τὸ ὑπὸ ΑΗΖ πρὸς τὸ ἀπὸ ΗΓ τετράγωνον.*

239 *ϛ'. Ἔστω ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΓ, καὶ τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Ε σημεῖον· ὅτι γίνεται τὸ μὲν ὑπὸ ΒΕΔ ἴσον τῷ ἀπὸ ΕΓ, τὸ δὲ ὑπὸ ΑΔΓ τῷ ὑπὸ ΒΔΕ, τὸ δὲ ὑπὸ ΑΒΓ τῷ ὑπὸ ΕΒΔ.*



Ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΓ, συνθέντι καὶ τὰ ἡμίση τῶν ἡγουμένων καὶ ἀναστρέψαντί ἐστιν ὡς ἡ ΒΕ πρὸς τὴν ΕΓ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ· τὸ ἄρα ὑπὸ ΒΕΔ ἴσον ἐστὶν τῷ ἀπὸ ΓΕ τετραγώνῳ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΕΔ τετράγωνον· λοιπὸν ἄρα τὸ ὑπὸ ΑΔΓ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΔΕ. ἐπεὶ δὲ τὸ ὑπὸ ΒΕΔ ἴσον ἐστὶν τῷ ἀπὸ ΕΓ, ἑκάτερον ἀφῃρήσθω ἀπὸ τοῦ ἀπὸ τῆς ΒΕ τετραγώνου· λοιπὸν ἄρα τὸ ὑπὸ ΑΒΓ ἴσον ἐστὶν τῷ ὑπὸ ΕΒΔ. γίνεται ἄρα τὰ τρία.

240 *ζ'. Τὸ Α πρὸς τὸ Β τὸν συνημμένον λόγον ἐχέτω ἔκ τε τοῦ ὃν ἔχει τὸ Γ πρὸς τὸ Δ καὶ ἐξ οὗ ὃν ἔχει τὸ Ε πρὸς τὸ Ζ· ὅτι καὶ τὸ Γ πρὸς τὸ Δ τὸν συνημμένον λόγον ἔχει ἔκ τε τοῦ ὃν ἔχει τὸ Α πρὸς τὸ Β καὶ τὸ Ζ πρὸς τὸ Ε.*

Τῷ γὰρ τοῦ Ε πρὸς τὸ Ζ λόγῳ ὁ αὐτὸς πεποιήσθω ὁ τοῦ Δ πρὸς τὸ Η. ἐπεὶ οὖν ὁ τοῦ Α πρὸς τὸ Β συνῆπται ἔκ τε τοῦ τοῦ Γ πρὸς τὸ Δ καὶ τοῦ τοῦ Ε πρὸς τὸ Ζ, τουτέστιν τοῦ Δ πρὸς τὸ Η, ἀλλὰ ὁ συνημμένος ἔκ τε τοῦ ὃν ἔχει τὸ Γ πρὸς τὸ Δ καὶ ἐξ οὗ ὃν ἔχει τὸ Δ πρὸς τὸ Η ἐστὶν ὁ τοῦ Γ πρὸς τὸ Η, ὡς ἄρα τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Η. ἐπεὶ δὲ τὸ Γ πρὸς τὸ Δ τὸν συνημμένον

5. ϛ'] η' BS, om. A 7. *γίνεται* B[1], *γίνονται* AB[2]S *Ha* 12. *πρὸς τὴν γδ* SV 15. *ἀφαιρείσθω* AS, corr. B V m. rec., item vs. 17 17. *δὲ τὸ ὑπὸ* ΒΔΔ ABS, corr. *Ha* auctore Co *ἑκάτερον* *Hu* pro *ἀμφότερα* 20. ζ'] θ' BS, om. A 21. *ἐξ οὗ ὃν* A[2]BS, *ἐξουσιον* (sine acc.) A[1] 25. *ὁ τοῦ* *Ha* pro *τὸ* *λόγος* ante *συνῆπται* add. *Ha* 26. *τοῦ τοῦ* *Ha* pro *τοῦ τῆς* *τὸ* (ante Δ) add. *Hu* *τοῦ Ε*

$\alpha\beta \cdot \zeta\varepsilon : \zeta\varepsilon^2 = \alpha\eta \cdot \eta\zeta : \eta\zeta^2$. Sed est etiam
$\zeta\varepsilon^2 : \gamma\delta^2 = \eta\zeta^2 : \eta\gamma^2$; ex aequali igitur
$\alpha\beta \cdot \zeta\varepsilon : \gamma\delta^2 = \alpha\eta \cdot \eta\zeta : \eta\gamma^2$.

IV. Sit $\alpha\beta : \beta\gamma = \alpha\delta : \delta\gamma$, et $\alpha\gamma$ bifariam secetur in puncto ε; dico esse $\beta\varepsilon \cdot \varepsilon\delta = \varepsilon\gamma^2$, et $\alpha\delta \cdot \delta\gamma = \beta\delta \cdot \delta\varepsilon$, et $\alpha\beta \cdot \beta\gamma = \varepsilon\beta \cdot \beta\delta$. Prop. 170

Quoniam enim est
$\alpha\beta : \beta\gamma = \alpha\delta : \delta\gamma$, componendo fit
$\alpha\beta + \beta\gamma : \beta\gamma = \alpha\gamma : \gamma\delta$, et, *quoniam est* $\alpha\beta + \beta\gamma = \alpha\gamma + 2\,\beta\gamma$, *et ex hypothesi* $\varepsilon\gamma = \frac{1}{2}\alpha\gamma$, sumptis antecedentium dimidiis
$\varepsilon\gamma + \gamma\beta : \beta\gamma = \varepsilon\gamma : \gamma\delta$, et convertendo
$\varepsilon\beta : \varepsilon\gamma = \varepsilon\gamma : \varepsilon\delta$; ergo est
$\beta\varepsilon \cdot \varepsilon\delta = \varepsilon\gamma^2$. *Est autem* $\beta\varepsilon \cdot \varepsilon\delta = \beta\delta \cdot \delta\varepsilon + \varepsilon\delta^2$ (*elem.* 2, 3), *et* $\varepsilon\gamma^2 = \alpha\delta \cdot \delta\gamma + \varepsilon\delta^2$ (*elem.* 2, 5); *hinc* igitur communi subtracto $\varepsilon\delta^2$ restat
$\beta\delta \cdot \delta\varepsilon = \alpha\delta \cdot \delta\gamma$.

Sed quia est $\beta\varepsilon \cdot \varepsilon\delta = \varepsilon\gamma^2$, utrumque subtrahatur ex $\beta\varepsilon^2$; *est autem* $\beta\varepsilon^2 = \beta\varepsilon \cdot \varepsilon\delta + \varepsilon\beta \cdot \beta\delta$ (*elem.* 2, 2) $= \alpha\beta \cdot \beta\gamma + \gamma\varepsilon^2$ (*elem.* 2, 6); restat igitur
$\varepsilon\beta \cdot \beta\delta = \alpha\beta \cdot \beta\gamma$.

Fiunt igitur tria *quae supra proposita sunt*.

V. Sit $\frac{\alpha}{\beta} = \frac{\gamma}{\delta} \cdot \frac{\varepsilon}{\zeta}$; dico esse etiam $\frac{\gamma}{\delta} = \frac{\alpha}{\beta} \cdot \frac{\zeta}{\varepsilon}$. Prop. 171



Fiat enim $\frac{\delta}{\eta} = \frac{\varepsilon}{\zeta}$. Iam quia (*ex hypothesi*) est
$\frac{\alpha}{\beta} = \frac{\gamma}{\delta} \cdot \frac{\varepsilon}{\zeta} = \frac{\gamma}{\delta} \cdot \frac{\delta}{\eta} = \frac{\gamma}{\eta}$, est igitur $\frac{\alpha}{\beta} = \frac{\gamma}{\eta}$. Sed quia est

πρὸς τὸ Ζ Ha pro τῆς $\overline{E}$ πρὸς $\overline{Z}$ 29. ὁ τοῦ Γ πρὸς τὸ Η add. Ha
ὡς ἄρα Ha, ἄρα AB, ἄρα ὡς S

λόγον ἔχει ἔκ τε τοῦ ὃν ἔχει τὸ Γ πρὸς τὸ Η καὶ ἐξ οὗ ὃν ἔχει τὸ Η πρὸς τὸ Δ, ἀλλ' ὁ μὲν τοῦ Γ πρὸς τὸ Η ὁ αὐτὸς ἐδείχθη τῷ τοῦ Α πρὸς τὸ Β, ὁ δὲ τοῦ Η πρὸς τὸ Δ ἐκ τοῦ ἀνάπαλιν ὁ αὐτός ἐστιν τῷ τοῦ Ζ πρὸς τὸ Ε, καὶ τὸ Γ ἄρα πρὸς τὸ Δ τὸν συνημμένον λόγον ἔχει ἔκ τε τοῦ ὃν ἔχει τὸ Α πρὸς τὸ Β καὶ ἐξ οὗ ὃν ἔχει τὸ Ζ πρὸς τὸ Ε.

241 *η'. Ἔστω δύο παραλληλόγραμμα τὰ ΑΓ ΔΖ ἰσογώνια, ἴσην ἔχοντα τὴν Β γωνίαν τῇ Ε γωνίᾳ· ὅτι γίνεται ὡς τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ ὑπὸ ΔΕΖ, οὕτως τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΔΖ παραλληλόγραμμον.*

Εἰ μὲν οὖν ὀρθαί εἰσιν αἱ Β Ε γωνίαι, φανερόν· εἰ δὲ μή, ἤχθωσαν κάθετοι αἱ ΑΗ ΔΘ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν Β γωνία τῇ Ε, ἡ δὲ Η ὀρθὴ τῇ Θ, ἰσογώνιον ἄρα ἐστὶν τὸ ΑΒΗ τρίγωνον τῷ ΔΕΘ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΗ, οὕτως ἡ ΕΔ πρὸς τὴν ΔΘ. ἀλλ' ὡς μὲν ἡ ΒΑ πρὸς τὴν ΑΗ, οὕτως ἐστὶν τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ ὑπὸ ΑΗ ΒΓ, ὡς δὲ ἡ ΕΔ πρὸς τὴν ΔΘ, οὕτως ἐστὶν τὸ ὑπὸ ΔΕΖ πρὸς τὸ ὑπὸ ΔΘ ΕΖ· ἔστιν ἄρα ἐναλλὰξ ὡς τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ ὑπὸ ΔΕΖ, οὕτως τὸ ὑπὸ ΑΗ ΒΓ, τουτέστιν τὸ ΑΓ παραλληλόγραμμον, πρὸς τὸ ὑπὸ ΔΘ ΕΖ, τουτέστιν πρὸς τὸ ΔΖ παραλληλόγραμμον.

242 *θ'. Ἔστω τρίγωνον τὸ ΑΒΓ, ἔστω δὲ παράλληλος ἡ ΒΓ τῇ ΔΕ, καὶ τῷ ἀπὸ τῆς ΓΑ ἴσον κείσθω τὸ ὑπὸ ΖΑΕ· ὅτι, ἐὰν ἐπιζευχθῶσιν αἱ ΔΓ ΒΖ, γίνεται παράλληλος ἡ ΒΖ τῇ ΔΓ.*

Τοῦτο δέ ἐστιν φανερόν. ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΖΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΓΑ πρὸς τὴν ΑΕ, ὡς δὲ ἡ ΓΑ πρὸς τὴν ΑΕ, *οὕτως ἐστὶν ἐν παραλλήλῳ ἡ ΒΑ πρὸς ΑΔ, καὶ ὡς ἄρα ἡ ΖΑ πρὸς ΑΓ, οὕτως ἡ ΒΑ πρὸς ΑΔ· παράλληλοι ἄρα εἰσὶν αἱ ΔΓ ΒΖ.*

243 *ι'. Ἔστω τρίγωνον μὲν τὸ ΑΒΓ τραπέζιον δὲ τὸ ΔΕΖΗ,*

8. *η'*, *ι'* B Paris. 2368 V, om. AS 12. *αἱ* $\overline{ΒΕ}$ A, distinx. BS 13. *αἱ* $\overline{ΑΗΔΘ}$ A, distinx. BS 15. 16. *ὡς ἡ* $\overline{ΑΒ}$ Ha 18. *ὑπὸ* $\overline{ΑΗΒΓ}$ A, distinx BS 19. *ὑπὸ* $\overline{ΔΘΕΖ}$ A, distinx. BS 23. *θ'*] *ια'* BS, om.

$\frac{\gamma}{\delta} = \frac{\gamma}{\eta} \cdot \frac{\eta}{\delta}$, et demonstravimus esse $\frac{\gamma}{\eta} = \frac{\alpha}{\beta}$, et *ex hypothesi* inversà efficitur $\frac{\eta}{\delta} = \frac{\zeta}{\varepsilon}$, est igitur

$\frac{\gamma}{\delta} = \frac{\alpha}{\beta} \cdot \frac{\zeta}{\varepsilon}$.

VI. Sint duo parallelogramma $\alpha\beta\gamma$ $\delta\varepsilon\zeta$ aequiangula, et Prop. 172
quidem sit $\angle\beta = \angle\varepsilon$; dico parallelogramma eandem inter se proportionem habere ac rectangula $\alpha\beta \cdot \beta\gamma : \delta\varepsilon \cdot \varepsilon\zeta$*).



Siquidem anguli β ε recti sunt, manifestum est; sin minus, ducantur perpendiculares $\alpha\eta$ $\delta\vartheta$. Iam quia est $\angle\beta = \angle\varepsilon$, et $\angle\eta = \angle\vartheta$, est igitur $\Delta\,\alpha\beta\eta \sim \Delta\,\delta\varepsilon\vartheta$, itaque $\beta\alpha : \alpha\eta = \varepsilon\delta : \delta\vartheta$. Sed est $\beta\alpha : \alpha\eta = \beta\alpha \cdot \beta\gamma : \alpha\eta \cdot \beta\gamma$, et $\varepsilon\delta : \delta\vartheta = \varepsilon\delta \cdot \varepsilon\zeta : \delta\vartheta \cdot \varepsilon\zeta$; ergo vicissim $\alpha\beta \cdot \beta\gamma : \delta\varepsilon \cdot \varepsilon\zeta = \alpha\eta \cdot \beta\gamma$ (id est parallelogrammum $\alpha\beta\gamma$) : $\delta\vartheta \cdot \varepsilon\zeta$ (id est parallelogrammum $\delta\varepsilon\zeta$).

VII. Sit triangulum $\alpha\beta\gamma$, et $\delta\varepsilon \parallel \beta\gamma$, et ponatur $\alpha\varepsilon \cdot \alpha\zeta$ Prop. 173
$= \gamma\alpha^2$; dico, si iungantur $\delta\gamma$ $\beta\zeta$, has ipsas parallelas esse.



Hoc quidem manifestum est. Nam quia *ex hypothesi* est $\zeta\alpha : \alpha\gamma = \gamma\alpha : \alpha\varepsilon$, et propter parallelas $\beta\gamma$ $\delta\varepsilon$ est $\gamma\alpha : \alpha\varepsilon = \beta\alpha : \alpha\delta$, est igitur $\zeta\alpha : \alpha\gamma = \beta\alpha : \alpha\delta$; ergo parallelae sunt $\delta\gamma$ $\beta\zeta$.

VIII. Sit triangulum $\alpha\beta\gamma$ et trapezium $\delta\varepsilon\zeta\eta$, ita ut an- Prop. 174

*) Conf. adnot. ad VII propos. 162.

A 23. 24. τῇ *ΒΓ* ἡ *ΔΕ* coni. *Hu* 25. post παράλληλος add. ἐστιν AB, del. S *Ha* 28. οὕτως ἡ $\overline{ΓΔ}$ ABS, corr. *Ha* auctore *Co* 28. 29. ὡς δὲ ἡ *ΓΑ* πρὸς τὴν *ΑΕ* add. *Hu* auctore *Co* 31. αἱ *ΒΖ* *ΔΓ* *Ha* 32. ι'] ιβ' BS, om. A τραπέζειον A, corr. BS ὥστε ἴσην εἶναι τὴν ὑπὸ ΑΒΓ γωνίαν τῇ ὑπὸ ΔΕΖ γωνίᾳ· ὅτι γίνεται ὡς τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς ΔΗ ΕΖ καὶ τῆς ΔΕ, οὕτως τὸ ΑΒΓ πρὸς τὸ ΔΕΖΗ.

Ἤχθωσαν κάθετοι αἱ ΑΘ ΔΚ. ἐπεὶ δὲ ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ γωνίᾳ, ἡ δὲ Θ ὀρθὴ τῇ Κ ὀρθῇ ἴση, ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς ΑΘ, οὕτως ἡ ΕΔ πρὸς ΔΚ. ἀλλ᾽ ὡς μὲν ἡ ΒΑ πρὸς ΑΘ, οὕτως ἐστὶν τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ ὑπὸ ΑΘ ΒΓ, ὡς δὲ ἡ ΕΔ πρὸς τὴν ΔΚ, οὕτως ἐστὶν τὸ ὑπὸ συναμφοτέρου τῆς ΔΗ ΕΖ καὶ τῆς ΔΕ πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς ΔΗ ΕΖ καὶ τῆς ΔΚ. καὶ ἔστιν τοῦ μὲν ὑπὸ ΑΘ ΒΓ ἥμισυ τὸ ΑΒΓ τρίγωνον, τοῦ δὲ ὑπὸ συναμφοτέρου τῆς ΔΗ ΕΖ καὶ τῆς ΔΚ ἥμισυ τὸ ΔΕΖΗ τραπέζιον· ἔστιν ἄρα ὡς τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς ΔΗ ΕΖ καὶ τῆς ΔΕ, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖΗ τραπέζιον.

244 Καὶ ἐὰν ᾖ [δὲ] τρίγωνον τὸ ΑΒΓ καὶ παραλληλόγραμμον τὸ ΔΖ, γίνεται ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖΗ παραλληλόγραμμον, οὕτως τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ δὶς ὑπὸ ΔΕΖ, κατὰ τὰ αὐτά. καὶ φανερὸν ἐκ τούτων ὅτι τὸ μὲν ὑπὸ ΑΒΓ, ἐὰν ᾖ παραλληλόγραμμον τὸ ΔΖ καὶ ἴσον τῷ ΑΒΓ τριγώνῳ, ἴσον γίνεται τῷ δὶς ὑπὸ ΔΕΖ, ἐπὶ δὲ τοῦ τραπεζίου ἴσον γίνεται τῷ ὑπὸ συναμφοτέρου τῆς ΔΗ ΕΖ καὶ τῆς ΔΕ, ὅπερ: ~

245 ια΄. Ἔστω τρίγωνον τὸ ΑΒΓ, καὶ ἐκβληθείσης τῆς ΓΑ διήχθω τις τυχοῦσα ἡ ΔΕ, καὶ αὐτῇ μὲν παράλληλος ἤχθω ἡ ΑΗ, τῇ δὲ ΒΓ ἡ ΑΖ· ὅτι γίνεται ὡς τὸ ἀπὸ ΑΗ τετράγωνον πρὸς τὸ ὑπὸ ΒΗΓ, οὕτως τὸ ὑπὸ ΔΖΘ πρὸς τὸ ἀπὸ ΖΑ τετράγωνον.

Κείσθω τῷ μὲν ὑπὸ ΒΗΓ ἴσον τὸ ὑπὸ ΑΗΚ, τῷ δὲ ὑπὸ ΔΖΘ ἴσον τὸ ὑπὸ ΑΖΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΚ ΘΛ.

1. post γωνίᾳ add. Ha ἡ δὲ ΔΗ τῇ ΕΖ παράλληλος 4. αἱ $\overline{ΑΘΔΚ}$ A, distinx. BS ἐπεὶ οὖν ἴση coni. Hu 5. Θ ὀρθὴ] ὀρθὴ ABS, ὀρθὴ Θ Ha 8. ὡς δὲ ἡ $\overline{ΑΔ}$ ABS, corr. Ha auctore Co 10. τῆς ΔΗΕΖ A, distinx. BS 12. τὸ δὲ ὑπὸ Ha καὶ τῆς $\overline{ΑΚ}$ ABS, corr. Ha auctore Co 14. καὶ ante τῆς ΔΗ ΕΖ add. A

gulus $\alpha\beta\gamma$ aequalis sit angulo $\delta\varepsilon\zeta$, *et parallelae sint* $\delta\eta$ $\varepsilon\zeta$; dico ut rectangulum $\alpha\beta \cdot \beta\gamma$ ad rectangulum $(\delta\eta + \varepsilon\zeta)\, \delta\varepsilon$, ita esse triangulum $\alpha\beta\gamma$ ad trapezium $\delta\varepsilon\zeta\eta$.

Ducantur perpendiculares $\alpha\vartheta$ $\delta\varkappa$. Quoniam *ex hypothesi* est $\angle\, \alpha\beta\gamma = \angle\, \delta\varepsilon\zeta$, et ex constructione $\angle\, \vartheta = \angle\, \varkappa$, est igitur $\beta\alpha : \alpha\vartheta = \varepsilon\delta : \delta\varkappa$. Sed est $\beta\alpha : \alpha\vartheta = \beta\alpha \cdot \beta\gamma : \alpha\vartheta \cdot \beta\gamma$, et $\varepsilon\delta : \delta\varkappa = (\delta\eta + \varepsilon\zeta)\, \varepsilon\delta : (\delta\eta + \varepsilon\zeta)\, \delta\varkappa$; *ideoque vicissim* $\alpha\beta \cdot \beta\gamma : (\delta\eta + \varepsilon\zeta)\, \varepsilon\delta = \alpha\vartheta \cdot \beta\gamma : (\delta\eta \cdot \varepsilon\zeta)\, \delta\varkappa$. Et est rectanguli $\alpha\vartheta \cdot \beta\gamma$ dimidium triangulum $\alpha\beta\gamma$, et rectanguli $(\delta\eta + \varepsilon\zeta)\, \delta\varkappa$ dimidium trapezium $\delta\varepsilon\zeta\eta$; est igitur ut rectangulum $\alpha\beta \cdot \beta\gamma$ ad rectangulum $(\delta\eta + \varepsilon\zeta)\, \varepsilon\delta$, ita triangulum $\alpha\beta\gamma$ ad trapezium $\delta\varepsilon\zeta\eta$.

Quodsi sit triangulum $\alpha\beta\gamma$ et parallelogrammum $\delta\varepsilon\zeta\eta$, fit ut $\alpha\beta\gamma$ triangulum ad $\delta\varepsilon\zeta\eta$ parallelogrammum, ita rectangulum $\alpha\beta \cdot \beta\gamma$ ad duplum rectangulum $\delta\varepsilon \cdot \varepsilon\zeta$, eadem ratione. Et hinc apparet, si parallelogrammum sit $\delta\varepsilon\zeta\eta$ idque triangulo $\alpha\beta\gamma$ aequale, esse $\alpha\beta \cdot \beta\gamma = 2\, \delta\varepsilon \cdot \varepsilon\zeta$; si vero trapezium, esse $\alpha\beta \cdot \beta\gamma = (\delta\eta + \varepsilon\zeta)\, \delta\varepsilon$.

IX. Sit triangulum $\alpha\beta\gamma$, et producta $\gamma\alpha$ *ad* δ ducatur quaelibet recta $\delta\vartheta\varepsilon$, eique parallela $\alpha\eta$, et rectae $\beta\gamma$ *parallela* $\alpha\zeta$: dico esse $\alpha\eta^2 : \beta\eta \cdot \eta\gamma = \delta\zeta \cdot \zeta\vartheta : \zeta\alpha^2$. Prop. 173

Ponatur $\alpha\eta \cdot \eta\varkappa = \beta\eta \cdot \eta\gamma$, et $\alpha\zeta \cdot \zeta\lambda = \delta\zeta \cdot \zeta\vartheta$, et iun-

16—23. haec ab interpolatore addita esse videntur 16. numerum *ιγ'* praefigunt BS *δὲ* del: *Hu* 18. *τὸ ὑπὸ ΑΒΓ Hu* auctore *Co*. *τὸ ὑπὸ ΑΘΒΓ* A(BS), *τὸ ὑπὸ ΑΒ ΒΓ Ha*, item vs. 20 19. *ἐκ τούτῳ* typothetae errorem apud *Ha* repetivit *Ge* 20. 21. *καὶ ἴσον τῷ ΑΒΓ τριγώνῳ* add. *Ha* 22. *τῷ ὑπὸ Ha* auctore *Co*, *τὸ δὶς ὑπὸ* AS, *τῷ δὶς ὑπὸ* B 22. 23. *τῆς ΑΗΕΖ* A, distinx. BS 23. *ὅπερ* BS, *ο* A 24. *ια'*] *ιδ'* BS, om. A 25. *τυχοῦσα ἡ ΑΘΕ Ha* auctore *Co* 26. *δὲ βγ* BS, *ΑΕΒΓ* A 27. *τὸ ὑπὸ ΑΖΘ Ha* auctore *Co* pro *τὸ ὑπὸ ΖΘ* 29. 30. *ΑΗΚ, τῷ δὲ — ἴσον τὸ ὑπὸ* add. *Co* 30. *ΑΖΛ* $\mathrm{AB^c}$, *αζλ* $\mathrm{B^1S}$ cod. *Co* *ἐπεὶ οὖν ἴση ἐστὶν ἡ Γ γωνία τῇ ὑπὸ ΒΚΗ, ἡ δὲ ὑπὸ ΔΑΛ ἐν κύκλῳ ἴση ἐστὶν τῇ ὑπὸ ΖΘΔ, καὶ ἡ ὑπὸ ΗΚΒ ἄρα ἴση ἐστὶν τῇ ὑπὸ ΖΘΔ γωνίᾳ. ἀλλὰ καὶ ἡ πρὸς τῷ Η γωνία ἴση ἐστὶν τῇ πρὸς τῷ Ζ· ἔστιν ἄρα ὡς ἡ ΒΗ πρὸς τὴν ΗΚ, οὕτως ἡ ΔΖ πρὸς τὴν ΖΘ. ἐπεὶ δέ ἐστιν ὡς ἡ ΔΗ πρὸς τὴν ΗΒ, οὕτως ἡ ΘΕ πρὸς τὴν ΕΒ, ὡς δὲ ἡ ΘΕ πρὸς ΕΒ, οὕτως ἐστὶν ἐν παραλλήλῳ ἡ ΖΘ πρὸς ΖΔ, ἔστιν ἄρα ὡς ἡ ΔΗ πρὸς τὴν ΗΒ, οὕτως ἡ ΘΖ πρὸς ΖΔ. ἐπεὶ οὖν ἐστιν ὡς μὲν ἡ ΔΗ πρὸς ΗΒ, οὕτως ἡ ΘΖ πρὸς ΖΔ, ὡς δὲ ἡ ΒΗ πρὸς ΗΚ, οὕτως ἄλλη τις ἡ ΔΖ πρὸς τὴν ἡγουμένην τὴν ΖΘ, δι' ἴσου ἄρα ἐν τεταραγμένῃ ἀναλογίᾳ ὡς ἡ ΔΗ πρὸς τὴν ΗΚ, οὕτως ἡ ΔΖ πρὸς τὴν ΖΔ. ἀλλ' ὡς μὲν ἡ ΔΗ πρὸς ΗΚ, οὕτως ἐστὶν τὸ ἀπὸ ΔΗ πρὸς τὸ ὑπὸ ΔΗΚ, τουτέστιν πρὸς τὸ ὑπὸ ΒΗΓ, ὡς δὲ ἡ ΔΖ πρὸς ΖΔ, οὕτως ἐστὶν τὸ ὑπὸ ΔΖΔ, τουτέστιν τὸ ὑπὸ ΔΖΘ, πρὸς τὸ ἀπὸ ΖΔ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ ΔΗ πρὸς τὸ ὑπὸ ΒΗΓ, οὕτως τὸ ὑπὸ ΔΖΘ πρὸς τὸ ἀπὸ ΖΔ.*

246 *Διὰ δὲ τοῦ συνημμένου. ἐπεὶ ὁ μὲν τῆς ΔΗ πρὸς ΗΒ λόγος ἐστὶν ὁ τῆς ΘΕ πρὸς ΕΒ, τουτέστιν ὁ τῆς ΘΖ πρὸς ΖΔ, ὁ δὲ τῆς ΔΗ πρὸς τὴν ΗΓ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΔΕ πρὸς ΕΓ, τουτέστιν τῷ τῆς ΔΖ πρὸς ΖΔ, ὁ ἄρα συνημμένος ἔκ τε τοῦ ὃν ἔχει ἡ ΔΗ πρὸς ΗΒ καὶ τοῦ ὃν ἔχει ἡ ΔΗ πρὸς ΗΓ, ὅς ἐστιν ὁ τοῦ ἀπὸ ΔΗ πρὸς τὸ ὑπὸ ΒΗΓ, ὁ αὐτός ἐστιν τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς ΘΖ πρὸς ΖΔ καὶ τοῦ τῆς ΔΖ πρὸς ΖΔ, ὅς ἐστιν ὁ τοῦ ὑπὸ ΔΖΘ πρὸς τὸ ἀπὸ ΖΔ τετράγωνον.*

Τοῦ β'.

247 *α'. Δύο δοθεισῶν τῶν ΑΒ ΒΓ, καὶ εὐθείας τῆς ΔΕ, εἰς τὰς ΑΒ ΒΓ ἐναρμόσαι εὐθεῖαν ἴσην τῇ ΔΕ καὶ παράλληλον αὐτῇ.*

---

3. 4. *πρὸς τῶι* $\overline{Γ}$ *γωνία ἴση ἐστιν τῆι πρὸς τῶι* $\overline{K}$ A(BS), corr. *Hu* 6. *ὡς ἡ* $\overline{ΔΗ}$ A, corr. BS *πρὸς τὴν* $\overline{βη}$ *οὕτως* S 7. *ἐν παραλλήλῳ ἡ ΘΖ Hu* 19. *ὁ τῆς* $\overline{ζθ}$ S 22. 23. *ἡ ΔΗ πρὸς ΗΒ καὶ τοῦ ὃν ἔχει* om. A¹, add. A²BS 27. *τοῦ* $\overline{Β}$ add. in A manus rec., *τοῦ δευτέρου τῶν κωνικῶν* S, om. A¹B 28. *α'* add. BS

gantur $\beta\varkappa$ $\vartheta\lambda$. Iam quia *ex constructione puncta* α γ $\varkappa$ β *in circuli circumferentia sunt, in eodem segmento* angulus $\alpha\gamma\beta$ angulo $\alpha\varkappa\beta$ aequalis est, itemque in *eodem* circuli $\delta\alpha\vartheta\lambda$ *segmento* angulus $\delta\alpha\lambda$ angulo $\delta\vartheta\lambda$ aequalis. *Et propter parallelas* $\beta\gamma$ $\lambda\alpha$ *est* $\angle\, \alpha\gamma\beta = \angle\, \delta\alpha\lambda$; ergo etiam $\angle\, \alpha\varkappa\beta = \angle\, \delta\vartheta\lambda$. Sed *propter parallelogrammum* $\alpha\eta\varepsilon\zeta$ etiam est $\angle\, \beta\eta\varkappa = \angle\, \lambda\zeta\vartheta$; ergo *in similibus triangulis* $\beta\eta\varkappa$ $\lambda\zeta\vartheta$ est $\beta\eta : \eta\varkappa = \lambda\zeta : \zeta\vartheta$. Sed quia *propter parallelas* $\alpha\eta$ $\vartheta\varepsilon$ est $\alpha\eta : \eta\beta = \vartheta\varepsilon : \varepsilon\beta$, et propter parallelas $\beta\varepsilon$ $\zeta\alpha$ est $\vartheta\varepsilon : \varepsilon\beta = \vartheta\zeta : \zeta\alpha$, est igitur $\alpha\eta : \eta\beta = \vartheta\zeta : \zeta\alpha$. Iam quia est



$\alpha\eta : \eta\beta = \vartheta\zeta : \zeta\alpha$, et

$\eta\beta : \eta\varkappa = \lambda\zeta : \vartheta\zeta$, ex aequali igitur in perturbata proportione (*elem.* 5, 23) est

$\alpha\eta : \eta\varkappa = \lambda\zeta : \zeta\alpha$. Sed est

$\alpha\eta : \eta\varkappa = \alpha\eta^2 : \alpha\eta\cdot\eta\varkappa$, id est *ex constructione*

$= \alpha\eta^2 : \beta\eta\cdot\eta\gamma$, et

$\lambda\zeta : \zeta\alpha = \lambda\zeta\cdot\zeta\alpha : \zeta\alpha^2$, id est *ex constructione*

$= \delta\zeta\cdot\zeta\vartheta : \zeta\alpha^2$; est igitur

$\alpha\eta^2 : \beta\eta\cdot\eta\gamma = \delta\zeta\cdot\zeta\vartheta : \zeta\alpha^2$.

Per formulam compositae proportionis *sic*. Quia est

$\alpha\eta : \eta\beta = \vartheta\varepsilon : \varepsilon\beta = \vartheta\zeta : \zeta\alpha$, et

$\alpha\eta : \eta\gamma = \delta\varepsilon : \varepsilon\gamma = \delta\zeta : \zeta\alpha$, est igitur

$\frac{\alpha\eta}{\eta\beta}\cdot\frac{\alpha\eta}{\eta\gamma} = \frac{\vartheta\zeta}{\zeta\alpha}\cdot\frac{\delta\zeta}{\zeta\alpha}$, id est

$\alpha\eta^2 : \beta\eta\cdot\eta\gamma = \delta\zeta\cdot\zeta\vartheta : \zeta\alpha^2$.

LEMMATA IN CONICORUM LIBRUM II.

I. Dato angulo $\alpha\beta\gamma$, et rectâ $\delta\varepsilon$ *cuius terminus* δ *sit in* Prop. 176
recta $\alpha\beta$) *positione et magnitudine datâ*, construatur trianguli $\alpha\beta\gamma$ latus $\alpha\gamma$ aequale et parallelum rectae $\delta\varepsilon$*).

*) Figura in codicibus tradita demonstrat omissam esse hanc propositionis partem "et pertineat $\delta\varepsilon$ ultra $\beta\gamma$". Reliquos, qui statui possunt, casus non curavit huius lemmatis scriptor. Ceterum conf. adnot. ad VII propos. 162.

Τοῦτο δὲ φανερόν. ἐὰν γὰρ διὰ τοῦ Ε τῇ ΑΒ παράλληλον ἀγάγωμεν τὴν ΕΓ, διὰ δὲ τοῦ Γ τῇ ΔΕ παράλληλος ἀχθῇ ἡ ΓΔ, ἔσται, διὰ τὸ παραλληλόγραμμον εἶναι τὸ ΑΓΕΔ, ἡ ΑΓ ἴση τῇ ΔΕ καὶ παράλληλος, καὶ ἐνήρμοσται εἰς τὰς δοθείσας εὐθείας τὰς ΑΒ ΒΓ.

248 *β΄. Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ ΔΕΖ, καὶ ἔστω ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΕ πρὸς ΕΖ, καὶ παράλληλος ἡ μὲν ΑΒ τῇ ΔΕ, ἡ δὲ ΒΓ τῇ ΕΖ· ὅτι καὶ ἡ ΑΓ τῇ ΔΖ ἐστὶν παράλληλος.*

Ἐκβεβλήσθω ἡ ΒΓ καὶ συμπιπτέτω ταῖς ΔΕ ΔΖ κατὰ τὰ Η Θ. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΕ πρὸς ΕΖ, καὶ εἰσὶν ἴσαι αἱ Β Ε γωνίαι, διὰ τὸ εἶναι δύο παρὰ δύο, ἴση ἄρα ἐστὶν καὶ ἡ Γ τῇ Ζ, τουτέστιν τῇ Θ, διὰ τὸ παραλλήλους εἶναι τὰς ΕΖ ΗΘ· παράλληλος ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΔΘ.

249 *γ΄. Εὐθεῖα ἡ ΑΒ, καὶ ἔστωσαν ἴσαι αἱ ΑΓ ΔΒ, καὶ μεταξὺ τῶν Γ Δ εἰλήφθω τυχὸν σημεῖον τὸ Ε· ὅτι τὸ ὑπὸ ΑΔΒ μετὰ τοῦ ὑπὸ ΓΕΔ ἴσον ἐστὶν τῷ ὑπὸ ΑΕΒ.*

Τετμήσθω ἡ ΓΔ δίχα [ὅπως ἂν ἔχῃ ὡς πρὸς τὸ Ε σημεῖον] κατὰ τὸ Ζ. καὶ ἐπεὶ τὸ ὑπὸ ΑΔΒ μετὰ τοῦ ἀπὸ ΖΔ ἴσον ἐστὶν τῷ ἀπὸ ΖΒ, ἀλλὰ τῷ μὲν ἀπὸ ΖΔ ἴσον ἐστὶν τὸ ὑπὸ ΓΕΔ μετὰ τοῦ ἀπὸ ΖΕ, τῷ δὲ ἀπὸ ΖΒ ἴσον ἐστὶν τὸ ὑπὸ ΑΕΒ μετὰ τοῦ ἀπὸ ΖΕ, τὸ ἄρα ὑπὸ ΑΔΒ μετὰ τοῦ ὑπὸ ΓΕΔ καὶ τοῦ ἀπὸ ΖΕ ἴσον ἐστὶν τῷ τε ὑπὸ ΑΕΒ καὶ τῷ ἀπὸ ΖΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΖΕ· λοιπὸν ἄρα τὸ ὑπὸ ΑΔΒ μετὰ τοῦ ὑπὸ ΓΕΔ ἴσον ἐστὶν τῷ ὑπὸ ΑΕΒ.

---

1. *διὰ τοῦ Ε* Ha auctore Co pro *διὰ τοῦ* $\overline{Γ}$ 4. *τὸ* $\overline{ΑΓ}$ $\overline{ΔΕ}$ A, *τὸ* $\overline{αγδε}$ BS, corr. Ha auctore Co 6. *β΄* add. BS 10. 11. *κατὰ τὰ ΗΘ* A, distinx. S, *κατὰ τὰ* $\overline{η}$ $\overline{θ}$ B 12. *αἱ* $\overline{ΒΕ}$ ABS, distinx. Ha 13. *καὶ* om. B[s]S 14. post *ΕΖ ΗΘ* add. *ἴση ἄρα ἐστὶν ἡ γωνία τῇ* $\overline{Η}$ *ἐπεὶ καὶ τῇ* $\overline{Β}$ ABS, om. Co 15. *τῇ ΔΖ* Ge 16. *γ΄* add. BS *Ἔστω εὐθεῖα* Ha 17. *τῶν* $\overline{ΓΔ}$ A, distinx. BS 19. 20. *ὅπως* —



Hoc vero manifestum est. Nam si per ε rectae $\alpha\beta$ parallelam ducamus $\varepsilon\gamma$, et per γ rectae $\delta\varepsilon$ parallelam $\gamma\alpha$, facto parallelogrammo $\alpha\gamma\varepsilon\delta$ erit $\alpha\gamma$ *datae* rectae $\delta\varepsilon$ aequalis et parallela eademque trianguli $\alpha\beta\gamma$ latus.

II. Sint duo triangula $\alpha\beta\gamma$ $\delta\varepsilon\zeta$, sitque $\alpha\beta : \beta\gamma = \delta\varepsilon : \varepsilon\zeta$, et $\alpha\beta$ parallela rectae $\delta\varepsilon$, et $\beta\gamma$ rectae $\varepsilon\zeta$; dico etiam rectam $\alpha\gamma$ rectae $\delta\zeta$ parallelam esse. Prop. 177



Producatur $\beta\gamma$ secetque rectas $\delta\varepsilon$ $\delta\zeta$ in punctis η ϑ. Iam quia *ex hypothesi* est $\alpha\beta : \beta\gamma = \delta\varepsilon : \varepsilon\zeta$, et propter binas parallelas anguli β ε aequales sunt, etiam angulus γ aequalis est angulo ζ, id est angulo ϑ (quia parallelae sunt $\varepsilon\zeta$ $\eta\vartheta$); ergo $\alpha\gamma$ rectae $\delta\vartheta$ *sive* $\delta\zeta$ parallela est.

III. *Sit* recta $\alpha\beta$, et $\alpha\gamma = \delta\beta$, et inter γ δ sumatur quodvis punctum ε: dico esse $\alpha\delta \cdot \delta\beta + \gamma\varepsilon \cdot \varepsilon\delta = \alpha\varepsilon \cdot \varepsilon\beta$. Prop. 178



Secetur $\gamma\delta$ bifariam in puncto ζ. Et quoniam *propter elem.* 2, 5 est

$$\alpha\delta \cdot \delta\beta + \zeta\delta^2 = \zeta\beta^2, \text{ itemque}$$
$$\zeta\delta^2 = \gamma\varepsilon \cdot \varepsilon\delta + \zeta\varepsilon^2, \text{ et}$$
$$\zeta\beta^2 = \alpha\varepsilon \cdot \varepsilon\beta + \zeta\varepsilon^2, \text{ est igitur}$$
$$\alpha\delta \cdot \delta\beta + \gamma\varepsilon \cdot \varepsilon\delta + \zeta\varepsilon^2 = \alpha\varepsilon \cdot \varepsilon\beta + \zeta\varepsilon^2.$$

Commune auferatur $\zeta\varepsilon^2$; restat igitur

$$\alpha\delta \cdot \delta\beta + \gamma\varepsilon \cdot \varepsilon\delta = \alpha\varepsilon \cdot \varepsilon\beta.$$

σημεῖον del. *Hu* 19. ὡς πρὸς τὸ τὸ πρὸς τὸ *Ha*. item p. 936, 4
25. ἀφαιρείσθω AS. ἀφαιρήσθω B. corr. *Hu*

250 δʹ. Εὐθεῖα ἡ ΑΒ, καὶ ἔστωσαν ἴσαι αἱ ΑΓ ΔΒ, καὶ μεταξὺ τῶν ΓΔ εἰλήφθω τυχὸν σημεῖον τὸ Ε· ὅτι τὸ ὑπὸ τῶν ΑΕΒ ἴσον ἐστὶν τῷ τε ὑπὸ τῶν ΓΕΔ καὶ τῷ ὑπὸ ΔΑΓ.

Τετμήσθω γὰρ ἡ ΓΔ δίχα [ὅπως ἂν ἔχῃ ὡς πρὸς τὸ Ε σημεῖον] κατὰ τὸ Ζ· καὶ ὅλη ἄρα ἡ ΑΖ τῇ ΖΒ ἴση ἐστίν· τὸ μὲν ἄρα ὑπὸ ΑΕΒ μετὰ τοῦ ἀπὸ ΕΖ ἴσον ἐστὶν τῷ ἀπὸ ΑΖ, τὸ δὲ ὑπὸ ΔΑΓ μετὰ τοῦ ἀπὸ ΓΖ ἴσον ἐστὶν τῷ ἀπὸ ΑΖ, ὥστε τὸ ὑπὸ ΑΕΒ μετὰ τοῦ ἀπὸ ΕΖ ἴσον ἐστὶν τῷ ὑπὸ ΔΑΓ καὶ τῷ ἀπὸ ΓΖ. ἀλλὰ τὸ ἀπὸ ΓΖ ἴσον ἐστὶν τῷ τε ὑπὸ ΓΕΔ καὶ τῷ ἀπὸ ΕΖ, καὶ κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΕΖ τετράγωνον· λοιπὸν ἄρα τὸ ὑπὸ ΑΕΒ ἴσον ἐστὶν τῷ τε ὑπὸ ΓΕΔ καὶ τῷ ὑπὸ ΔΑΓ.

251 εʹ. Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ ΔΕΖ, καὶ ἔστω ἴση ἡ μὲν Γ τῇ Ζ, μείζων δὲ ἡ Β τῆς Ε· ὅτι ἡ ΒΓ πρὸς ΓΑ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς ΖΔ.

Συνεστάτω τῇ Ε γωνίᾳ ἴση ἡ ὑπὸ ΓΒΗ, ἔστιν δὲ καὶ ἡ Γ τῇ Ζ ἴση· ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς ΓΗ, οὕτως ἡ ΕΖ πρὸς ΖΔ. ἀλλὰ ἡ ΒΓ πρὸς τὴν ΓΑ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς ΓΗ· καὶ ἡ ΒΓ ἄρα πρὸς ΓΑ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς ΖΔ.

252 ςʹ. Ἐχέτω δὴ πάλιν ἡ ΒΓ πρὸς ΓΑ μείζονα λόγον ἤπερ ἡ ΕΖ πρὸς ΖΔ, ἴση δὲ ἔστω ἡ Γ γωνία τῇ Ζ· ὅτι πάλιν γίνεται ἐλάσσων ἡ Β γωνία τῆς Ε γωνίας.

Ἐπεὶ γὰρ ἡ ΒΓ πρὸς ΓΑ μείζονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς ΖΔ, ἐὰν ἄρα ποιῶ ὡς τὴν ΒΓ πρὸς τὴν ΓΑ, οὕτως τὴν ΕΖ πρός τινα, ἔσται πρὸς ἐλάσσονα τῆς ΖΔ. ἔστω πρὸς τὴν ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΕΗ, καὶ περὶ ἴσας

---

1. δʹ add. BS Ἔστω εὐθεῖα Ha 2. τῶν $\overline{\text{ΓΔ}}$ A, distinx. BS 3. τῶν ante ΑΕΒ et ante ΓΕΔ om. Ha 4. 5. ὅπως — σημεῖον del. Hu 5. ἴση S, ἴσον AB 7. 8. τὸ δὲ ὑπὸ ΔΑΓ — τῷ ἀπὸ ΑΖ om. Co Ha 8. μετὰ τοῦ ἀπὸ $\overline{\text{ΘΖ}}$ AB, corr. S 10. καὶ (ante κοινὸν) om. Ha 12. τῷ τε ὑπὸ ΔΕΓ Ha 13. εʹ add. Ha τὰ $\overline{\text{ΑΒ}}$ $\overline{\text{ΓΔ}}$ $\overline{\text{ΕΖ}}$ A, corr. BS 14. πρὸς ΓΑ Ha auctore Co pro πρὸς $\overline{\text{ΓΔ}}$ 21. ςʹ add. BS 24. μείζονα Ha pro ἐλάσσονα 25. ὡς ἡ ΒΓ Ha πρὸς τὴν ΓΑ Ha auctore Co pro πρὸς τὴν $\overline{\text{ΓΔ}}$ 26. οὕτως ἡ ΕΖ πρός τινα ἄλλην Ha 27. ἐπιζευχθῇ ABS, corr. Ha περὶ] πρὸς Ha

IV. *Sit* recta $\alpha\beta$, et $\alpha\gamma = \delta\beta$, et inter γ δ sumatur quodvis punctum ε; dico esse $\alpha\varepsilon \cdot \varepsilon\beta = \gamma\varepsilon \cdot \varepsilon\delta + \delta\alpha \cdot \alpha\gamma$ *). Prop. 179



Secetur enim $\gamma\delta$ bifariam in puncto ζ; ergo est etiam $\alpha\zeta = \zeta\beta$, itaque *propter elem.* 2. 5 est

$\alpha\varepsilon \cdot \varepsilon\beta + \varepsilon\zeta^2 = \alpha\zeta^2$, itemque *propter elem.* 2. 6

$\delta\alpha \cdot \alpha\gamma + \gamma\zeta^2 = \alpha\zeta^2$, ita ut sit

$\alpha\varepsilon \cdot \varepsilon\beta + \varepsilon\zeta^2 = \delta\alpha \cdot \alpha\gamma + \gamma\zeta^2$. Sed *quia* est $\gamma\zeta^2 = \gamma\varepsilon \cdot \varepsilon\delta + \varepsilon\zeta^2$, commune auferatur $\varepsilon\zeta^2$; restat igitur

$\alpha\varepsilon \cdot \varepsilon\beta = \gamma\varepsilon \cdot \varepsilon\delta + \delta\alpha \cdot \alpha\gamma$.

V. Sint duo triangula $\alpha\beta\gamma$ $\delta\varepsilon\zeta$, sitque $\angle\gamma = \angle\zeta$, et $\angle\beta > \angle\varepsilon$; dico esse $\beta\gamma : \gamma\alpha < \varepsilon\zeta : \zeta\delta$. Prop. 180



Construatur $\angle\gamma\beta\eta = \angle\varepsilon$, et est $\angle\gamma = \angle\zeta$; itaque $\beta\gamma : \gamma\eta = \varepsilon\zeta : \zeta\delta$. Sed, *quia est* $\gamma\alpha > \gamma\eta$, est $\beta\gamma : \gamma\alpha < \beta\gamma : \gamma\eta$; ergo etiam $\beta\gamma : \gamma\alpha < \varepsilon\zeta : \zeta\delta$.

VI. Iam rursus sit $\beta\gamma : \gamma\alpha > \varepsilon\zeta : \zeta\delta$, et $\angle\gamma = \angle\zeta$: dico angulum β minorem esse quam ε. Prop. 181



Quoniam enim est $\beta\gamma : \gamma\alpha > \varepsilon\zeta : \zeta\delta$, si faciam $\varepsilon\zeta : x = \beta\gamma : \gamma\alpha$, erit $x < \zeta\delta$. Sit $\zeta\eta$, et iungatur $\varepsilon\eta$: et aequales sunt anguli quos

*) Hoc lemma idem est ac superius tertium, paulo aliter enuntiatum. Quapropter eandem figuram repetivimus omissa codicum auctoritate, qui ad hoc IV lemma punctum ε inter γ et ζ situm exhibent. Simillimam demonstrationem habet Eutocius ad Apollonii conic. p. 12 *Ha.*

γωνίας ἀνάλογόν εἰσιν αἱ πλευραί· ἴση ἄρα ἐστὶν ἡ Β γωνία τῇ ὑπὸ ΖΕΗ, ἐλάσσονι οὔσῃ τῆς Ε.

253 ζ΄. Ἔστω ὅμοια τρίγωνα τὰ ΑΒΓ ΔΕΖ, καὶ διήχθωσαν αἱ ΑΗ ΔΘ οὕτως, ὥστε εἶναι ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ, οὕτως τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ· ὅτι γίνεται ὅμοιον καὶ τὸ ΑΗΓ τρίγωνον τῷ ΔΘΖ τριγώνῳ.

Ἐπεὶ γάρ ἐστιν ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ, οὕτως τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ, ἀλλ' ὁ μὲν τοῦ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ λόγος συνῆπται ἔκ τε τοῦ ὃν ἔχει ἡ ΒΓ πρὸς ΓΑ καὶ τοῦ τῆς ΗΓ πρὸς ΓΑ, ὁ δὲ τοῦ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ συνῆπται ἔκ τε τοῦ τῆς ΕΖ πρὸς ΖΔ καὶ τοῦ τῆς ΘΖ πρὸς ΖΔ, ὧν ὁ τῆς ΒΓ πρὸς ΓΑ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΕΖ πρὸς ΖΔ, διὰ τὴν ὁμοιότητα τῶν τριγώνων· λοιπὸς ἄρα ὁ τῆς ΗΓ πρὸς ΓΑ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΘΖ πρὸς ΖΔ. καὶ περὶ ἴσας γωνίας· ὅμοιον ἄρα ἐστὶν τὸ ΑΓΗ τρίγωνον τῷ ΔΖΘ τριγώνῳ.

254 η΄. Διὰ μὲν οὖν τοῦ συνημμένου λόγου, ὡς προγέγραπται, ἔστω δὲ νῦν ἀποδεῖξαι μὴ προσχρησάμενον τῷ συνημμένῳ λόγῳ.

Κείσθω τῷ μὲν ὑπὸ ΒΓΗ ἴσον τὸ ὑπὸ ΑΓΚ· ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΚ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΗ. τῷ δὲ ὑπὸ ΕΖΘ ἴσον κείσθω τὸ ὑπὸ ΔΖΛ· ἔστιν ἄρα ὡς ἡ ΕΖ πρὸς ΖΛ, οὕτως ἡ ΔΖ πρὸς ΖΘ. ὑπόκειται δὲ ὡς τὸ ὑπὸ ΒΓΗ, τουτέστιν τὸ ὑπὸ ΑΓΚ, πρὸς τὸ ἀπὸ ΑΓ, τουτέστιν ὡς ἡ ΚΓ πρὸς ΓΑ, οὕτως τὸ ὑπὸ ΕΖΘ, τουτέστιν τὸ ὑπὸ ΔΖΛ, πρὸς τὸ ἀπὸ ΔΖ, τουτέστιν ἡ ΛΖ πρὸς ΖΔ. ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς ΓΑ, οὕτως ἡ ΕΖ πρὸς ΖΔ διὰ τὴν ὁμοιότητα· καὶ ὡς ἄρα ἡ ΒΓ πρὸς ΓΚ, οὕτως ἡ ΕΖ πρὸς ΖΛ. ἀλλ' ὡς μὲν ἡ ΒΓ πρὸς ΓΚ, οὕτως ἐδείχθη ἡ ΑΓ πρὸς ΓΗ, ὡς δὲ ἡ ΕΖ πρὸς ΖΛ, οὕτως ἡ

---

1. citatur elem. 6 propositio 4; sed significatur eadem conversa 2. ἐλάσσονι οὔσῃ τῆς ΖΕΔ Hu, ἐλάσσονος οὔσης τῆς $\overline{Ε}$ ABS 3. ζ΄ add. BS 9. ἀπὸ add. Hu auctore Co 10. πρὸς $\overline{ΓΑ}$ A² ex πρὸς $\overline{Γ}$· 12. τοῦ τῆς ΖΘ Hu 14. λοιπὸς Hu pro λοιπὸν 16. τὸ ΑΗΓ τρίγωνον τῷ ΔΘΖ τριγώνῳ Hu 17. η΄ add. BS 22. κείσθω τῶι ὑπὸ AB, corr. S 25. ὡς ἡ ΑΓ πρὸς $\overline{ΓΚ}$ ABS, corr. Hu 26. 27. ἡ

latera proportionalia complectuntur; ergo est $\angle\, \beta = \angle\, \zeta\varepsilon\eta$, itaque $< \angle\, \zeta\varepsilon\delta$.

VII. Sint similia triangula $\alpha\beta\gamma$ $\delta\varepsilon\zeta$, in quibus rectae $\alpha\eta$ $\delta\vartheta$ ita ducantur, ut sit $\beta\gamma \cdot \gamma\eta : \gamma\alpha^2 = \varepsilon\zeta \cdot \zeta\vartheta : \zeta\delta^2$; dico etiam triangula $\alpha\eta\gamma$ $\delta\vartheta\zeta$ similia esse. Prop. 182

Quoniam enim est $\beta\gamma \cdot \gamma\eta : \gamma\alpha^2 = \varepsilon\zeta \cdot \zeta\vartheta : \zeta\delta^2$, et per formulam compositae proportionis

$$\frac{\beta\gamma}{\gamma\alpha} \cdot \frac{\eta\gamma}{\gamma\alpha} = \frac{\varepsilon\zeta}{\zeta\delta} \cdot \frac{\vartheta\zeta}{\zeta\delta},$$

in quibus propter triangulorum similitudinem est $\beta\gamma : \gamma\alpha = \varepsilon\zeta : \zeta\delta$, *hac* igitur *proportione subtracta* restat $\eta\gamma : \gamma\alpha = \vartheta\zeta : \zeta\delta$. Et sunt *haec latera proportionalia* circa aequales angulos: ergo triangula $\alpha\gamma\eta$ $\delta\zeta\vartheta$ similia sunt.

VIII. Per formulam igitur compositae proportionis sic, ut modo scriptum est: iam vero idem, non adhibita ea formula, demonstretur. Prop. 183



Ponatur $\alpha\gamma \cdot \gamma\varkappa = \beta\gamma \cdot \gamma\eta$, et $\delta\zeta \cdot \zeta\lambda = \varepsilon\zeta \cdot \zeta\vartheta$; est igitur $\beta\gamma : \gamma\varkappa = \alpha\gamma : \gamma\eta$, et $\varepsilon\zeta : \zeta\lambda = \delta\zeta : \zeta\vartheta$. Sed ex hypothesi est

$\beta\gamma \cdot \gamma\eta : \alpha\gamma^2 = \varepsilon\zeta \cdot \zeta\vartheta : \delta\zeta^2$, id est

$\alpha\gamma \cdot \gamma\varkappa : \alpha\gamma^2 = \delta\zeta \cdot \zeta\lambda : \delta\zeta^2$, id est

$\varkappa\gamma : \gamma\alpha = \lambda\zeta : \zeta\delta$. Sed propter similitudinem *triangulorum* est etiam

$\beta\gamma : \gamma\alpha = \varepsilon\zeta : \zeta\delta$; itaque est

$\beta\gamma : \gamma\varkappa = \varepsilon\zeta : \zeta\lambda$. Sed demonstravimus esse $\beta\gamma : \gamma\varkappa = \alpha\gamma : \gamma\eta$, et $\varepsilon\zeta : \zeta\lambda = \delta\zeta : \zeta\vartheta$: ergo etiam

---

ΔZ πρὸς ZΔ ABS, corr. *Hu*   28. post *ὁμοιότητα* add. *τῶν τριγώνων* *Hu* auctore *Co*   29. *πρὸς ZΔ* *Hu* auctore *Co* pro *πρὸς ZΔ*

ΔΖ πρὸς ΖΘ· καὶ ὡς ἄρα ἡ ΑΓ πρὸς ΓΗ, οὕτως ἡ ΔΖ πρὸς ΖΘ. καὶ περὶ ἴσας γωνίας· ὅμοιον ἄρα ἐστὶν τὸ ΑΓΗ τρίγωνον τῷ ΔΖΘ τριγώνῳ.

Ὁμοίως καὶ τὸ ΑΗΒ τῷ ΔΘΕ, ὅτι καὶ τὸ ΑΒΓ τῷ ΔΕΖ.

255 *θ΄. Ἔστω ὅμοιον τὸ μὲν ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, τὸ δὲ ΑΗΒ τῷ ΔΕΘ· ὅτι γίνεται ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ, οὕτως τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ.*

3) "Eadem segmenta" dicuntur $\beta\eta$ $\varepsilon\vartheta$, quia est $\beta\eta = \beta\varkappa - \eta\varkappa$, et $\varepsilon\vartheta = \varepsilon\lambda - \vartheta\lambda$, id est $\eta\varkappa = \beta\varkappa - \beta\eta$, et $\vartheta\lambda = \varepsilon\lambda - \varepsilon\vartheta$; ergo scriptor ex aequatione $\frac{\beta\eta\,(\beta\varkappa - \beta\eta)}{\beta\varkappa^2} = \frac{\varepsilon\vartheta\,(\varepsilon\lambda - \varepsilon\vartheta)}{\varepsilon\lambda^2}$ efficit esse $\frac{\beta\varkappa}{\beta\eta} = \frac{\varepsilon\lambda}{\varepsilon\vartheta}$.

18. *διὰ ταῦτα* A[a]BS, corr. *Hu* 18. 19. *τῶν* $\overline{AA}$ $\overline{KZ}$ ABS, corr. *Co*
22. *τῶν ὁμοιοτάτων* ABS, *similium Co*, *τῶν ὁμοιοταγῶν Ha*, corr. *Hu*
24. *τὸ ἀπὸ* $\overline{E\Theta A}$ *πρὸς τὸ ἀπὸ* $\overline{AE}$ ABS, corr. *Co*

τμήματα τὰ ΒΗ ΕΘ· ἔστιν ἄρα ὡς ἡ ΚΒ πρὸς ΒΗ, οὕτως ἡ ΛΕ πρὸς ΕΘ· καὶ ὡς ἄρα ἡ ΓΒ πρὸς ΒΗ, οὕτως ἐστὶν ἡ ΖΕ πρὸς ΕΘ.

309 ιβ΄. Ἔστω ἴση ἡ μὲν ΑΒ τῇ ΒΓ, ἡ δὲ ΔΕ τῇ ΕΖ, ἔτι δὲ ἡ ΒΓ πρὸς ΓΗ μείζονα λόγον ἐχέτω ἤπερ ἡ ΕΖ πρὸς τὴν ΖΘ· ὅτι ἐπὶ μὲν τῆς πρώτης πτώσεως καὶ ἡ ΑΗ πρὸς τὴν ΒΓ μείζονα λόγον ἔχει ἤπερ ἡ ΔΘ πρὸς τὴν ΕΖ, ἐπὶ δὲ τῆς δευτέρας ἐλάσσω.

Ἐπεὶ γὰρ ἡ ΒΓ πρὸς ΓΗ μείζονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς ΖΘ, ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἡ ΓΒ πρὸς ΒΗ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΖΕ πρὸς ΕΘ, ἐπὶ δὲ τῆς δευτέρας μείζω· ὥστε καὶ ἡ ΑΒ πρὸς τὴν ΒΗ ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΔΕ πρὸς ΕΘ, ἐπὶ δὲ τῆς δευτέρας μείζω· καὶ ἡ ΗΑ ἄρα πρὸς τὴν ΑΒ ἐπὶ μὲν τῆς πρώτης πτώσεως μείζονα λόγον ἔχει ἤπερ ἡ ΘΔ πρὸς ΔΕ, ἐπὶ δὲ τῆς δευτέρας ἐλάσσω. καὶ ἔστιν ὡς ἡ ΑΒ πρὸς ΒΓ, οὕτως ἡ ΔΕ πρὸς ΕΖ· δι᾽ ἴσου ἄρα ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἡ ΑΗ πρὸς τὴν ΒΓ μείζονα λόγον ἔχει ἤπερ ἡ ΔΘ πρὸς τὴν ΕΖ, ἐπὶ δὲ τῆς δευτέρας ἐλάσσω.

310 ιγ΄. Ἔστω πάλιν ἴση ἡ μὲν ΑΒ τῇ ΒΓ, ἡ δὲ ΔΕ τῇ ΕΖ, ἔτι δὲ ἡ ΑΗ πρὸς τὴν ΗΒ μείζονα λόγον ἐχέτω ἤπερ ἡ ΔΘ πρὸς τὴν ΘΕ· ὅτι καὶ ἡ ΒΓ πρὸς τὴν ΓΗ μείζονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΖΘ.

Ἐπεὶ γὰρ κατὰ ἀναστροφὴν καὶ διαίρεσιν ἡ ΗΒ πρὸς

1. τὰ $\overline{BHE\Theta}$ A, distinx. BS 1. 2. ἔστιν ἄρα ὡς ἡ $\overline{KB}$ πρὸς $\overline{BA}$ οὕτως ἡ $\overline{\Lambda E}$ πρὸς $\overline{E\Theta}$ ABS, ἔστιν ἄρα ὡς ἡ ΗΒ πρὸς ΒΚ, οὕτως ἡ ΘΕ πρὸς ΕΛ Co, corr. Ha 2. 3. καὶ ὡς ἄρα ἡ $\overline{HB}$ πρὸς $\overline{B\Gamma}$ οὕτως ἐστὶν ἡ $\overline{\Theta E}$ πρὸς $\overline{EZ}$ ABS, corr. Hu, ἀλλ᾽ ἐδείχθη ὡς ἡ ΒΓ πρὸς τὴν ΒΚ οὕτως ἡ ΖΕ πρὸς τὴν ΕΛ· δι᾽ ἴσου ἄρα ὡς ἡ ΒΓ πρὸς ΒΗ οὕτως ἐστὶν ἡ ΖΕ πρὸς ΕΘ Ha 4. cap. 309—311 edidit M. Meibomius, dialogi de proportionibus pag. 154—156 (Hafniae 1655) ἴση add. Co ἡ δὲ ΔΚ τῇ ΚΖ Ha et sic ubique Κ pro Ε in hoc et proximo lemmate 5. πρὸς ΓΗ] πρὸς τὴν ΓΗ Meibomius suo ingenio, nullius codicis auctoritate; et sic etiam posthac articulos addidit 6. τῆς πρώτης BS, τῆς $\overline{E\Lambda}$ A 6. 7. πρὸς τὴν ΒΓ Co pro πρὸς τὴν $\overline{H\Gamma}$ 8. ἐλάσσων AB, corr. S, item vs. 16 et 20 10. 11. ἡ ΕΖ —

$\beta\varkappa : \beta\eta = \varepsilon\lambda : \varepsilon\vartheta$. *Et demonstravimus esse*

~~$\beta\varkappa : \beta\gamma = \varepsilon\lambda : \varepsilon\zeta$; ergo *ex aequali* est~~

$\gamma\beta : \beta\eta = \zeta\varepsilon : \varepsilon\vartheta$.

XII. Sit $\alpha\beta = \beta\gamma$, et $\delta\varepsilon = \varepsilon\zeta$, atque $\beta\gamma : \gamma\eta > \varepsilon\zeta : \zeta\vartheta$; Prop. 232
dico esse in priore casu $\alpha\eta : \beta\gamma > \delta\vartheta : \varepsilon\zeta$, in altero $\alpha\eta : \beta\gamma < \delta\vartheta : \varepsilon\zeta$.



Quoniam enim est $\beta\gamma : \gamma\eta > \varepsilon\zeta : \zeta\vartheta$, in priore casu est $\beta\gamma : \beta\eta < \varepsilon\zeta : \varepsilon\vartheta$, itaque etiam $\alpha\beta : \beta\eta < \delta\varepsilon : \varepsilon\vartheta$; ergo est [1]

$\alpha\beta : \alpha\beta + \beta\eta < \delta\varepsilon : \delta\varepsilon + \varepsilon\vartheta$, *id est*

$\alpha\eta : \alpha\beta > \delta\vartheta : \delta\varepsilon$. Et *ex hypothesi* est

$\alpha\beta : \beta\gamma = \delta\varepsilon : \varepsilon\zeta$; ex aequali igitur

$\alpha\eta : \beta\gamma > \delta\vartheta : \varepsilon\zeta$.

In altero casu, quia est $\beta\gamma : \gamma\eta > \varepsilon\zeta : \zeta\vartheta$, est *etiam*

$\beta\gamma : \beta\gamma + \gamma\eta > \varepsilon\zeta : \varepsilon\zeta + \zeta\vartheta$, *id est*

$\beta\gamma : \beta\eta > \varepsilon\zeta : \varepsilon\vartheta$, itaque etiam

$\alpha\beta : \beta\eta > \delta\varepsilon : \varepsilon\vartheta$; ergo est *similiter ac supra*

$\alpha\eta : \alpha\beta < \delta\vartheta : \delta\varepsilon$, itaque *perinde ac supra*

$\alpha\eta : \beta\gamma < \delta\vartheta : \varepsilon\zeta$.

XIII. Sit rursus $\alpha\beta = \beta\gamma$, et $\delta\varepsilon = \varepsilon\zeta$, atque $\alpha\eta : \eta\beta >$ Prop. 233
$\delta\vartheta : \vartheta\varepsilon$; dico esse etiam $\beta\gamma : \gamma\eta > \varepsilon\zeta : \zeta\vartheta$ *).



Quoniam enim est $\alpha\eta : \eta\beta > \delta\vartheta : \vartheta\varepsilon$, et convertendo (*VII prop. 6*)

1) Conf. libri VII propos. 8.

*) Vide append.

ἔχει ἤπερ add. *Co* 11. *τῆς δευτέρας* BS, *τῆς* $\overline{B}$ A 12. *μείζων* AB, corr. S, item vs. 14 14. *καὶ ἡ ΗΑ Ha* auctore *Co* pro *καὶ ἡ ΗΔ* 17. post *ἄρα* add. *ἐστὶν* ABS, del. *Ha* auctore *Co* 22. *μείζονα Hu* pro *ἐλάσσονα* (conf. append.) 22. 23. *ἤπερ ἡ ΔΘ Ha* auctore *Co* pro *ἤπερ ἡ* $\overline{ΔΕ}$ 25. *κατ' ἀναστροφὴν* Meibom.

τὴν ΒΔ, τουτέστιν τὴν ΒΓ, ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΘΕ πρὸς τὴν ΕΔ, τουτέστιν πρὸς τὴν ΕΖ, ἀναστρέψαντι καὶ διελόντι ἡ ΒΓ πρὸς τὴν ΓΗ μείζονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΖΘ.

311 ιδʹ. Ἴση ἡ μὲν ΑΒ τῇ ΒΓ, ἡ δὲ ΔΕ τῇ ΕΖ, καὶ ἔτι ἡ ΑΗ πρὸς τὴν ΗΒ μείζονα λόγον ἐχέτω ἤπερ ἡ ΔΘ πρὸς τὴν ΘΕ· ὅτι ἡ ΒΗ πρὸς τὴν ΗΓ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΕΘ πρὸς τὴν ΘΖ.



Ἐπεὶ γὰρ κατὰ διαίρεσιν ἡ ΑΒ, τουτέστιν ἡ ΒΓ, πρὸς τὴν ΒΗ μείζονα λόγον ἔχει ἤπερ ἡ ΔΕ, τουτέστιν ἡ ΕΖ, πρὸς τὴν ΕΘ, ἀναστρέψαντι καὶ κατὰ διαίρεσιν ἡ ΒΗ πρὸς τὴν ΗΓ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΕΘ πρὸς τὴν ΘΖ.

Εἰς τοὺς πρὸς ἐπιφανείᾳ.

312 αʹ. Ἐὰν ᾖ εὐθεῖα ἡ ΑΒ, καὶ παρὰ θέσει ἡ ΓΔ, καὶ ᾖ λόγος τοῦ ὑπὸ ΑΔΒ πρὸς τὸ ἀπὸ ΔΓ, τὸ Γ ἅπτεται κωνικῆς γραμμῆς. ἐὰν οὖν ἡ μὲν ΑΒ στερηθῇ τῆς θέσεως, καὶ τὰ Α Β στερηθῇ τοῦ δοθέντος εἶναι, γένηται δὲ πρὸς θέσει εὐθεῖα ταῖς ΑΕ ΕΒ, τὸ Γ μετεωρισθὲν γίνεται πρὸς θέσει ἐπιφανείας. τοῦτο δὲ ἐδείχθη.

βʹ. Ἐὰν ᾖ θέσει εὐθεῖα ἡ ΑΒ, καὶ δοθὲν τὸ Γ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, καὶ διαχθῇ ἡ ΔΓ, καὶ πρὸς ὀρθὰς ἀχθῇ

4. τουτέστι πρὸς τὴν ΒΓ Meibom. ἐλάσσονα *Hu* pro μείζονα 5. Ἴση BS, Ἔστω ἴση A² Meibom. *Ha* ἡ μὲν AB, μὲν ἡ S Meibom. ἔτι non satis expressum est in A ac simile formae ἐστιν 7. ἐλάσσονα *Co Ha*, μείζονα ABS Meibom. 7. 8. ἤπερ ἡ ΕΘ *Ha* pro ἤπερ ἡ $\overline{EB}$ 13. καὶ add. *Ha* auctore *Co* 14. ἐλάσσονα] μείζονα Meibom. suo ingenio 16. quae hinc usque ad exitum libri VII sequuntur aliena sunt a consilio eius scriptoris qui praefationem huius libri composuit: vide supra cap. 3 τοὺς (scil. τόπους) *Ge* pro τὰς ἐπιφάνειαν ABS, corr. *Hu* 17. αʹ add. BS ᾖ ante εὐθεῖα add. *Hu* παραθέσει ABS, distinx. *Hu* 20. τὰ $\overline{AB}$ A, distinx. BS, ἑκάτερον τῶν Α Β *Hu* 20. 21. προσθέσει ABS, distinx. *Hu*, item vs. 21. 22 23. βʹ add. BS 24. πρὸς ὀρθὰς *Hu* coll. p. 1012, 26 pro παραθέσει

$\alpha\eta : \alpha\beta < \delta\vartheta : \delta\varepsilon$, et dirimendo [1])
$\beta\eta : \alpha\beta < \varepsilon\vartheta : \delta\varepsilon$, id est
$\beta\eta : \beta\gamma < \varepsilon\vartheta : \varepsilon\zeta$, est *igitur* convertendo (*VII propos. 6*)
$\beta\eta : \gamma\eta > \varepsilon\vartheta : \zeta\vartheta$, et dirimendo
$\beta\gamma : \gamma\eta > \varepsilon\zeta : \zeta\vartheta$.

XIV. *Sit* $\alpha\beta = \beta\gamma$, et $\delta\varepsilon = \varepsilon\zeta$, atque $\alpha\eta : \eta\beta > \delta\vartheta : \vartheta\varepsilon$; Prop. 234
dico esse $\beta\eta : \eta\gamma < \varepsilon\vartheta : \vartheta\zeta$.

Quoniam enim est
$\alpha\eta : \beta\eta > \delta\vartheta : \varepsilon\vartheta$, *et* dirimendo
$\alpha\beta : \beta\eta > \delta\varepsilon : \varepsilon\vartheta$, id est
$\beta\gamma : \beta\eta > \varepsilon\zeta : \varepsilon\vartheta$, est *igitur* convertendo
$\beta\gamma : \eta\gamma < \varepsilon\zeta : \vartheta\zeta$, et dirimendo
$\beta\eta : \eta\gamma < \varepsilon\vartheta : \vartheta\zeta$.

IN LOCOS AD SUPERFICIEM.

I. Si sit recta $\alpha\beta$, et $\gamma\delta$ parallela *rectae* positione *datae*, Prop. 235
sitque *data* proportio $\alpha\delta \cdot \delta\beta : \delta\gamma^2$, punctum γ tangit conicam lineam. Iam si recta $\alpha\beta$ positione privetur, et puncta α β desinant data esse, fiat autem recta *quaedam* πρὸς θέσει ad $\alpha\varepsilon$ $\varepsilon\beta$, punctum γ sublime elevatum fit πρὸς θέσει superficiei. Hoc autem demonstratum est[2]).



II. Si sit recta $\alpha\beta$ positione *data*, et in eodem plano Prop. 238 *)
datum punctum γ, et ducatur $\delta\gamma$, ac *datae* $\alpha\beta$ perpendicu-

1) Vide append. ad VII propos. 4.

2) Quoniam Euclidis πρὸς ἐπιφανείᾳ τόπων libri, ad quos scriptor provocat, non exstant, Graeca verba sunt obscuriora neque figurae in codicibus traditae ratio satis perspicua. Longiorem demonstrationem supplevit *Co.*

*) Non hanc ipsam propositionem, sed eandem repetitam, quae infra p. 1012 sqq. sequitur, numerat Commandinus. Laudat huius theorematis elegantiam Chasles *Aperçu historique* p. 44 edit. II Paris. (p. 44 versionis German.).

ἡ ΔΕ, λόγος δὲ ἢ τῆς ΓΔ πρὸς ΔΕ, τὸ Δ ἅπτεται θέσει κωνικῆς τομῆς. δείκνυται δὲ ὅτι γραμμῆς μέρος ποιεῖ τὸν τόπον. δειχθήσεται δὲ οὕτως, προγραφέντος τόπου τοῦδε.

314 γʹ. Δύο δοθέντων τῶν Α Β, καὶ ὀρθῆς τῆς ΓΔ, λόγος ἔστω τοῦ ἀπὸ ΑΔ πρὸς τὰ ἀπὸ ΓΔ ΔΒ· λέγω ὅτι τὸ Γ ἅπτεται κώνου τομῆς, ἐάν τε ᾖ ὁ λόγος ἴσος πρὸς ἴσον ἢ μείζων πρὸς ἐλάσσονα ἢ ἐλάσσων πρὸς μείζονα.



315 Ἔστω γὰρ πρότερον ὁ λόγος ἴσος πρὸς ἴσον· καὶ ἐπεὶ ἴσον ἐστὶν τὸ ἀπὸ ΑΔ τοῖς ἀπὸ ΓΔ ΔΒ, κείσθω τῇ ΒΔ ἴση ἡ ΔΕ· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΒΑΕ τῷ ἀπὸ ΔΓ. τετμήσθω δίχα ἡ ΑΒ τῷ Ζ· δοθὲν ἄρα τὸ Ζ. καὶ ἔστιν διπλῆ ἡ ΑΕ τῆς ΖΔ, ὥστε τὸ ὑπὸ ΒΑΕ τὸ δίς ἐστιν ὑπὸ τῶν ΑΒ ΖΔ. καὶ ἔστιν ἡ διπλῆ τῆς ΑΒ δοθεῖσα· τὸ ἄρα ὑπὸ δοθείσης καὶ τῆς ΖΔ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΔΓ· τὸ Γ ἄρα ἅπτεται θέσει παραβολῆς ἐρχομένης διὰ τοῦ Ζ.

δʹ. Συντεθήσεται δὴ ὁ τόπος οὕτως. ἔστω τὰ δοθέντα Α Β, ὁ δὲ λόγος ἔστω ἴσος πρὸς ἴσον, καὶ τετμήσθω ἡ ΑΒ δίχα τῷ Ζ, τῆς δὲ ΑΒ διπλῆ ἔστω ἡ Ρ, καὶ θέσει οὔσης εὐθείας τῆς ΖΒ πεπερασμένης κατὰ τὸ Ζ, τῆς δὲ Ρ δεδομένης τῷ μεγέθει, γεγράφθω περὶ ἄξονα τὸν ΖΒ παραβολὴ ἡ ΗΖ, ὥστε, οἷον ἐὰν ἐπ' αὐτῆς σημεῖον ληφθῇ ὡς τὸ Γ, κάθετος δὲ ἀχθῇ ἡ ΓΔ, ἴσον εἶναι τὸ ὑπὸ Ρ ΖΔ

1. ᾗ *Ge* auctore *Co* pro ἦν   τὸ Ε ἅπτεται ABS, corr. *Co*   2. δεικτέον δὲ *Hu*   2. 3. μέρος ποιεῖ τὸν τόπον add. *Ge*   3. τόπου] immo τοῦ λήμματος   4. γʹ add. BS   τῶν ΑΒ A, distinx. BS   5. ΓΔ ΔΒ *Co* pro ΓΔΒ, item vs. 11 (at distincte ΒΔ ΔΓ ABS p. 1008, 12)   10. ἀπὸ ΑΔ τοῖς bis scripta in A   12. ἐστὶ A²BS   15. ἔστιν *Hu* auctore *Co* pro ἔσται   19. ὑπὸ δο^θ καὶ τῆς ΒΓ ἴσον A, ὑπὸ δοθὲν καὶ τῆς βγ BS, corr. *Co*   20. παραβολὴ ἐρχομένη AS, παραβολῇ



laris ducatur $\delta\varepsilon$, sitque *data* proportio $\gamma\delta : \delta\varepsilon$, punctum δ positione tangit conicam sectionem. Sed demonstrandum est partem lineae locum efficere, quod quidem efficietur hoc praemisso lemmate.

III. *Positione* datis duobus punctis $\alpha\ \beta$, et perpendiculari $\gamma\delta$, sit *data* proportio $\frac{\alpha\delta^2}{\gamma\delta^2 + \delta\beta^2}$; dico punctum γ tangere coni sectionem, sive proportio sit *magnitudinis* aequalis ad aequalem, sive maioris ad minorem, sive minoris ad maiorem (*i. e. sive sit proportio* $= 1$ *sive* $\gtrless 1$). Prop. 236

Sit enim primum proportio aequalis ad aequale; et quia est $\alpha\delta^2 = \gamma\delta^2 + \delta\beta^2$, ponatur $\delta\varepsilon = \beta\delta$; est igitur *propter elem.* 2, 6

$$\beta\alpha \cdot \alpha\varepsilon + \varepsilon\delta^2 = \alpha\delta^2, \textit{ id est ex hypothesi}$$
$$= \gamma\delta^2 + \delta\beta^2, \textit{ ideoque}$$
$$\beta\alpha \cdot \alpha\varepsilon = \gamma\delta^2.$$

Bifariam secetur $\alpha\beta$ puncto ζ: datum igitur est ζ. Estque $\alpha\varepsilon = 2\zeta\delta$ (*quoniam* $\alpha\varepsilon = \alpha\beta - \varepsilon\beta$, *id est* $2\beta\zeta - 2\beta\delta$), itaque

$$\beta\alpha \cdot \alpha\varepsilon = 2\beta\alpha \cdot \zeta\delta; \textit{ ergo est}$$
$$2\beta\alpha \cdot \zeta\delta = \gamma\delta^2.$$

Et est data $\alpha\beta$; *ergo etiam* dupla $\alpha\beta$; ergo rectangulum, quod datà et $\zeta\delta$ continetur, aequale est quadrato ex $\gamma\delta$; itaque *propter Apollonii conic.* 1, 11 punctum γ positione tangit parabolam per ζ transeuntem.

Componetur locus sic. Sint data puncta $\alpha\ \beta$, et *data* proportio sit aequalis ad aequale, et recta $\alpha\beta$ bifariam secetur puncto ζ, et dupla $\alpha\beta$ sit recta ϱ, et cum recta $\zeta\beta$, quae terminatur in puncto ζ, positione *data* sit, et recta ϱ data magnitudine, *secundum conic.* 1, 52 circa axem $\zeta\beta$ construatur parabola $\eta\zeta$, ita ut, si in ea quodvis punctum γ su-

---

ἐρχομένῃ B, corr. Co 22. δ' add. BS 22. 23. δοθέντα $\overline{AB}$, distinx. BS 27. ἐπ' αὐτῆς AB Co, ἀπ' αὐτῆς S cod. Co 28. PZΔ A[s], $\bar{\varrho}\ \bar{\zeta}\ \bar{\delta}$ BS τῷ ἀπὸ ΔΓ, καὶ ἤχθω ὀρθὴ ἡ ΒΗ· λέγω ὅτι τὸ ΓΗ μέρος τῆς παραβολῆς ἐστιν.

Ἤχθω γὰρ κάθετος ἡ ΓΔ, καὶ τῇ ΒΔ ἴση κείσθω ἡ ΔΕ. ἐπεὶ οὖν διπλῆ ἐστιν ἡ μὲν ΑΒ τῆς ΒΖ, ἡ δὲ ΕΒ τῆς ΒΔ, διπλῆ ἄρα καὶ ἡ ΑΕ τῆς ΖΔ· τὸ ἄρα ὑπὸ ΒΑΕ ἴσον ἐστὶν τῷ δὶς ὑπὸ τῶν ΑΒ ΖΔ, τουτέστιν τῷ ἀπὸ ΔΓ. κοινὸν προσκείσθω τὸ ἀπὸ ΕΔ ἴσον ὂν τῷ ἀπὸ ΔΒ· ὅλον ἄρα τὸ ἀπὸ ΑΔ ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν ΓΔ ΔΒ· ἡ ΖΓΗ ἄρα γραμμὴ ποιεῖ τὸν τόπον.

316 ε'. Ἔστω δὴ πάλιν τὰ δύο δοθέντα σημεῖα τὰ Α Β, καὶ κατήχθω ὀρθὴ ἡ ΔΓ, λόγος δὲ ἔστω τοῦ ἀπὸ ΑΔ πρὸς τὰ ἀπὸ ΒΔ ΔΓ ἐπὶ μὲν τῆς πρώτης πτώσεως μείζων πρὸς ἐλάσσονα, ἐπὶ δὲ τῆς δευτέρας ἐλάσσων πρὸς μείζονα· λέγω ὅτι τὸ Γ ἅπτεται κώνου τομῆς, ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἐλλείψεως, ἐπὶ δὲ τῆς δευτέρας ὑπερβολῆς.





Ἐπεὶ γὰρ λόγος ἐστὶν τοῦ ἀπὸ ΑΔ πρὸς τὰ ἀπὸ ΒΔ ΔΓ, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τοῦ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΔΒ· ἐπὶ μὲν οὖν τῆς πρώτης πτώσεως ἐλάσσων ἐστὶν ἡ ΒΔ τῆς ΔΕ, ἐπὶ δὲ τῆς δευτέρας μείζων ἐστὶν ἡ ΒΔ τῆς ΔΕ. κείσθω τῇ ΕΔ ἴση ἡ ΔΖ. ἐπεὶ λόγος ἐστὶν τοῦ ἀπὸ ΑΔ

---

3. καὶ τῇ ΒΔ AB Co, καὶ τῇ γδ S cod. Co 6. ἀπὸ add. Ge auctore Co 10. ε' add. BS τὰ ΑΒ A, distinx. BS 11. κατήχθω ὀρθὴ ἡ ΔΓ Co pro ἐφάπτεται ἡ ΔΓ καὶ ὀρθὴ 12. 13. ἐλάσσων πρὸς μείζονα — μείζων πρὸς ἐλάσσονα ABS (item infra p. 1010, 18. 19),

matur et perpendicularis $\gamma\delta$ ducatur, sit $\varrho \cdot \zeta\delta = \delta\gamma^2$, et ducatur perpendicularis $\beta\eta$; dico lineam $\gamma\eta$ partem parabolae esse.



Ducatur enim perpendicularis $\gamma\delta$, et ponatur $\delta\varepsilon = \beta\delta$. Iam quia est $\alpha\beta = 2\beta\zeta$, et $\varepsilon\beta = 2\beta\delta$, est etiam $\alpha\beta - \varepsilon\beta$, *id est* $\alpha\varepsilon = 2\zeta\delta$; ergo est

$\beta\alpha \cdot \alpha\varepsilon = 2\beta\alpha \cdot \zeta\delta$, id est *ex constructione*

$= \delta\gamma^2$. Commune addatur $\varepsilon\delta^2 = \delta\beta^2$; est igitur

$\beta\alpha \cdot \alpha\varepsilon + \varepsilon\delta^2 = \gamma\delta^2 + \delta\beta^2$, *id est propter elem. 2, 6*

$\alpha\delta^2 = \gamma\delta^2 + \delta\beta^2$; ergo linea $\zeta\gamma\eta$ locum efficit.

IV. Iam sint rursus data duo puncta α β, et *a dato puncto* Prop. 287 *)
γ ducatur perpendicularis $\delta\gamma$, sit autem proportio $\frac{\alpha\delta^2}{\beta\delta^2 + \delta\gamma^2}$ in priore casu maioris ad minus, in altero minoris ad maius; dico punctum γ tangere coni sectionem, in priore casu ellipsim, in altero hyperbolam.

Quoniam enim *data* proportio est $\frac{\alpha\delta^2}{\beta\delta^2 + \delta\gamma^2}$, huic aequalis fiat proportio $\frac{\varepsilon\delta^2}{\delta\beta^2}$. Iam in priore casu est $\varepsilon\delta > \delta\beta$, in

*) Conf. supra IV propos. 34 p. 285.

corr. *Co* (eadem emendavit ille qui extremae demonstrationi scholion, quod in adnotatione ad p. 1010, 15 legitur, adscripsit) 19. $\overline{B\varDelta}$ $\overline{\varDelta\Gamma}$ *Ge* pro $\overline{B\varDelta\Gamma}$ 21. 22. ἀπὸ $B\varDelta$ πρὸς τὸ ἀπὸ $\varDelta E$ ABS, corr. *Co* 22—29. ἐπὶ μὲν οὖν τῆς πρώτης πτώσεως μείζων ἐστὶν ἡ $E\varDelta$ τῆς $\varDelta B$, ἐπὶ δὲ τῆς δευτέρας ἐλάσσων ἐστὶν ἡ $E\varDelta$ τῆς $\varDelta B$ *Co* 25. 26. ἡ $B\varDelta$ *Co* pro ἡ $\overline{BA}$ 29. post κείσθω add. ὅτι ABS, del. *Co* πρὸς τὰ ἀπὸ ΓΔ ΔΒ, καὶ ἔστιν αὐτῷ ὁ αὐτὸς ὁ τοῦ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΔΒ, καὶ λοιπὸς ἄρα τοῦ ὑπὸ ΖΔΕ πρὸς τὸ ἀπὸ ΔΓ λόγος ἐστὶν δοθείς. ἐπεὶ δὲ λόγος ἐστὶν τῆς ΕΔ πρὸς ΔΒ καὶ τῆς ΖΒ πρὸς ΒΔ, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς ΑΒ πρὸς ΒΗ· καὶ ὅλης ἄρα τῆς ΑΖ πρὸς ΔΗ λόγος ἐστὶν δοθείς. πάλιν ἐπεὶ λόγος ἐστὶν τῆς ΕΔ πρὸς ΔΒ δοθείς, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς ΑΘ πρὸς ΒΘ· λόγος ἄρα καὶ τῆς ΑΒ πρὸς ΒΘ ἐστὶν δοθείς [δοθὲν ἄρα τὸ Θ]· καὶ λοιπὸς ἄρα τῆς ΑΕ πρὸς ΘΔ λόγος ἐστὶν δοθείς· καὶ τοῦ ὑπὸ ΖΑΕ ἄρα πρὸς τὸ ὑπὸ ΘΔΗ λόγος ἐστὶ δοθείς. τοῦ δὲ ὑπὸ ΖΑΕ πρὸς τὸ ἀπὸ ΓΔ λόγος ἐστὶν δοθείς· καὶ τοῦ ὑπὸ ΗΔΘ ἄρα πρὸς τὸ ἀπὸ ΔΓ λόγος ἐστὶν δοθείς. καὶ ἔστιν δύο δοθέντα τὰ Θ Η· ἐπὶ μὲν ἄρα τῆς πρώτης πτώσεως τὸ Γ ἅπτεται ἐλλείψεως, ἐπὶ δὲ τῆς δευτέρας ὑπερβολῆς.

317 ϛ'. Συντεθήσεται δὲ ὁ τόπος οὕτως. ἔστω τὰ μὲν δύο δοθέντα σημεῖα τὰ Α Β, ὁ δὲ δοθεὶς λόγος ὁ τοῦ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ, ἐπὶ μὲν τῆς πρώτης πτώσεως μείζων πρὸς ἐλάσσονα, ἐπὶ δὲ τῆς δευτέρας ἐλάσσων πρὸς μείζονα, καὶ τῇ ΡΤ ἴση κείσθω ἡ ΤΥ, καὶ πεποιήσθω ὡς ἡ ΥΣ πρὸς τὴν ΣΤ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΗ, πεποιήσθω δὲ καὶ ὡς ἡ ΡΤ πρὸς τὴν ΤΣ, οὕτως ἡ ΑΘ πρὸς τὴν ΘΒ, καὶ γεγράφθω περὶ ἄξονα τὸν ΘΗ ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἔλλειψις, ἐπὶ δὲ τῆς δευτέρας ὑπερβολή, ὥστε, οἷον ἐὰν ἐπ' αὐτῆς ληφθῇ σημεῖον ὡς τὸ Γ, καὶ κάθετος ἀχθῇ ἡ ΓΔ, λόγον εἶναι τοῦ ὑπὸ τῶν ΘΔΗ πρὸς τὸ ἀπὸ ΔΓ τὸν συνημμένον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΥ καὶ ἐξ οὗ ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΡ καὶ ἐξ οὗ ὃν ἔχει ὁ δοθεὶς λόγος ὅς ἐστιν ὁ τοῦ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ, κατήχθω ὀρθὴ ἡ ΒΚ· λέγω ὅτι ἡ ΘΚ ποιεῖ τὸ ἐπίταγμα.

---

1. ΓΔ ΔΒ Co pro ΓΔΒ 2. λοιπὸς ἄρα τοῦ Co pro λοιπὸν ἄρα τὸ 3. δοθείς S cod. Co, δοθέντα AB 4. καὶ τῆς ζβ πρὸς βδ B Co, καὶ τῆς ΖΔ πρὸς ΔΒ καὶ τῆς ΖΒ πρὸς ΒΔ A, καὶ τῆς ζδ πρὸς δβ S cod. Co 5. καὶ τῆς ΑΖ ἄρα, deleto ὅλης, coni. *Hu* 6. 7. τῆς ΕΔ πρὸς ΔΒ δοθείς Co, τῆς ΕΔ πρὸς ΔΘ δοθέντα καὶ τῆς ΕΒ ἄρα πρὸς ΒΔ λόγος ἐστιν δοθέντα AB, δοθείς (nihil praeterea) S cod. Co

altero $\varepsilon\delta < \delta\beta$. Ponatur $\delta\zeta = \varepsilon\delta$. Quoniam *data* est proportio $\frac{\alpha\delta^2}{\beta\delta^2 + \delta\gamma^2}$, eique aequalis est $\frac{\varepsilon\delta^2}{\delta\beta^2}$; ergo etiam quae subtrahendo fit proportio $\frac{\alpha\delta^2 - \varepsilon\delta^2}{\delta\gamma^2}$, *id est propter elem.* 2, 6 $\frac{\zeta\alpha \cdot \alpha\varepsilon}{\delta\gamma^2}$, data est. Sed[1] quia *data* est proportio $\frac{\varepsilon\delta}{\delta\beta}$, itemque $\frac{\zeta\beta}{\beta\delta}$, huic aequalis ponatur $\frac{\alpha\beta}{\beta\eta}$; ergo etiam proportio $\frac{\alpha\zeta}{\delta\eta}$ data est. Rursus quia data est proportio $\frac{\varepsilon\delta}{\delta\beta}$, huic aequalis fiat $\frac{\alpha\vartheta}{\beta\vartheta}$; ergo etiam proportio $\frac{\alpha\beta}{\beta\vartheta}$ data est; itaque etiam subtractione factâ proportio $\frac{\alpha\varepsilon}{\vartheta\delta}$ data est; ergo etiam proportio $\frac{\zeta\alpha \cdot \alpha\varepsilon}{\vartheta\delta \cdot \delta\eta}$ data est. Sed est data proportio $\frac{\zeta\alpha \cdot \alpha\varepsilon}{\gamma\delta^2}$; ergo etiam proportio $\frac{\vartheta\delta \cdot \delta\eta}{\delta\gamma^2}$ data est. Et sunt duo data puncta ϑ η; in priore igitur casu punctum γ tangit ellipsim, in altero hyperbolam.

Componetur locus sic. Sint duo data puncta α β, et data proportio $\varrho\tau^2 : \tau\sigma^2$, in priore casu maioris ad minus, in altero minoris ad maius, et ponatur $\tau\upsilon = \varrho\tau$, fiatque $\alpha\beta : \beta\eta = \upsilon\sigma : \sigma\tau$, atque etiam $\alpha\vartheta : \vartheta\beta = \varrho\tau : \tau\sigma$, et circa axem $\vartheta\eta$ describatur in priore casu ellipsis, in secundo hyperbola, ita ut, si in utraque sumatur quodvis punctum γ, et perpendicularis $\gamma\delta$ ducatur, sit

$$\frac{\vartheta\delta \cdot \delta\eta}{\delta\gamma^2} = \frac{\tau\sigma}{\sigma\upsilon} \cdot \frac{\tau\sigma}{\sigma\varrho} \cdot \frac{\varrho\tau^2}{\tau\sigma^2}$$ (est *autem* $\frac{\varrho\tau^2}{\tau\sigma^2}$ data proportio),

et ducatur perpendicularis $\beta\varkappa$; dico lineam $\vartheta\varkappa$ efficere id quod praecipitur.

1) Quae hinc usque sequuntur in brevius a scriptore Graeco contracta, ea in appendice partim secundum Commandinum, partim nostra coniectura explicavimus.

---

7. *τῆς ΑΘ Co* pro *τῆς* $\overline{AB}$ 8. *ἐστιν* A(B), om. S   *δοθείς* S, *δοθεν* A(B)   8. 9. *δοθὲν ἄρα τὸ Θ* del. *Hu*   9. *λοιπη* A(B), corr. S   *ἄρα* add. *Hu*   *πρὸς ΘΑ Co* pro *πρὸς* $\overline{EA}$ 11. *ἐστὶ* A²BS   *τοῦ δὲ* BS, *τὸ δὲ* A   12. *ἄρα* add. *Hu* auctore *Co*   13. *τὰ* $\overline{\Theta H}$ A, distinx. BS   15. post *ὑπερβολῆς* add. *μείζων πρὸς ἐλάσσονα ἐλάσσων πρὸς μείζονα* ABS   16. *ς'* add. BS   17. *τὰ* $\overline{AB}$ A, distinx. BS   17. 18. *ὁ τοῦ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ Co* pro *ὁ τῆς* $\overline{PT}$ *πρὸς* $\overline{T\Sigma}$ 18. 19. *ἐλάσσων πρὸς μείζονα — μείζων πρὸς ἐλάσσονα* ABS, corr. *Co*   19. *τοῦ ἀπὸ ΡΤ Co* pro *τοῦ ἀπὸ* $\overline{P\Sigma}$ 20. *ὅτι ἡ ΘΚ* idem pro *ὅτι ἡ* $\overline{BK}$

Ἤχθω γὰρ κάθετος ἡ ΓΔ, καὶ πεποιήσθω ὡς μὲν ἡ ΑΒ πρὸς τὴν ΒΗ, οὕτως ἡ ΖΒ πρὸς τὴν ΒΔ, ὡς δὲ ἡ ΑΘ πρὸς τὴν ΘΒ, οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΒ, ὥστε ἔσται ὁ μὲν τῆς ΔΗ πρὸς τὴν ΑΖ λόγος ὁ αὐτὸς τῷ τῆς ΗΒ πρὸς τὴν ΒΔ, τουτέστιν τῷ τῆς ΤΣ πρὸς ΣΥ, ὁ δὲ τῆς ΘΔ πρὸς ΔΕ λόγος ὁ αὐτὸς [ἐστὶν] τῷ τῆς ΤΣ πρὸς ΣΡ (τὸ αὐτὸ γὰρ ἐν τῇ ἀναλύσει ἀπεδείχθη), ὥστε τοῦ ὑπὸ ΘΔΗ πρὸς τὸ ὑπὸ ΖΔΕ λόγος συνῆπται ἐξ οὗ ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΥ καὶ ἡ ΤΣ πρὸς ΣΡ· ἀλλ' ἐπεὶ τὸ ὑπὸ ΘΔΗ πρὸς τὸ ἀπὸ ΔΓ τὸν συνημμένον ἔχει λόγον ἐξ οὗ ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΥ καὶ ἡ ΤΣ πρὸς ΣΡ καὶ ἐξ οὗ ὃν ἔχει ὁ δοθεὶς λόγος, *καὶ ἔστιν ὁ δοθεὶς λόγος ὁ τοῦ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ,* καὶ *τὸ ὑπὸ ΘΔΗ πρὸς τὸ ἀπὸ ΔΓ συνῆπται ἐξ οὗ ὃν ἔχει τὸ ὑπὸ ΘΔΗ πρὸς τὸ ὑπὸ ΖΔΕ καὶ τὸ ὑπὸ ΖΔΕ πρὸς τὸ ἀπὸ ΔΓ, καὶ ἔστιν ὁ τοῦ ὑπὸ τῶν ΘΔΗ πρὸς τὸ ὑπὸ ΖΔΕ λόγος ὁ αὐτὸς τῷ συνημμένῳ ἐξ οὗ ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΥ καὶ ἡ ΤΣ πρὸς ΣΡ, λοιπὸς ἄρα τοῦ ὑπὸ ΖΔΕ πρὸς τὸ ἀπὸ ΔΓ λόγος ὁ αὐτός ἐστιν τῷ τοῦ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ, τουτέστι τῷ τοῦ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΔΒ. καὶ πάντα πρὸς πάντα· ὡς ἄρα τὸ ἀπὸ ΑΔ πρὸς τὰ ἀπὸ ΓΔ ΔΒ, οὕτως ἐστὶν τὸ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ, τουτέστιν ὁ δοθεὶς λόγος, ὥστε τὸ ΘΚ μέρος τῆς τομῆς ποιεῖ τὸν τόπον.*

318 *ζ'. Τούτων οὕτως ἐχόντων ἐλευσόμεθα ἐπὶ τὸ ἐξ ἀρχῆς. ἔστω θέσει εὐθεῖα ἡ ΑΒ, καὶ δοθὲν τὸ Γ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, καὶ διήχθω ἡ ΔΓ, κάθετος ἡ ΔΕ, λόγος δὲ ἔστω τῆς ΓΔ πρὸς ΔΕ· λέγω ὅτι τὸ Δ ἅπτεται κώνου τομῆς, καὶ ἐὰν μὲν ὁ λόγος ᾖ ἴσος πρὸς ἴσον, παραβολῆς, ἐὰν δὲ*

---

6. *ἐστὶν* del. *Hu* 7. *τοῦτο γὰρ* coni. *Hu* 9. *ἐπεὶ* BS, *ἐπὶ* A 10. *τὸ ἀπὸ ΔΓ Co* pro *τὸ ἀπὸ* $\overline{ΑΓ}$ 11. 12. *καὶ ἐξ οὗ ὃν ἔχει ὁ δοθεὶς λόγος* add. *Co* 13. post *ἀπὸ ΤΣ* add. *ἐλάσσων πρὸς μείζονα* ABS *καὶ* add. *Hu* 17. 18. *λοιπὸν ἄρα τοῦ ὑπὸ* $\overline{ΘΔΗ}$ ABS, corr. *Co* 19. *τουτέστι* A²BS 20. *ἀπὸ ΔΒ Co* pro *ἀπὸ* $\overline{ΑΒ}$ 21. *πρὸς τὰ ἀπὸ ΓΔ ΔΒ Co*, *πρὸς τωι ἀπὸ ΒΗ* A¹, *πρὸς τὸ ἀπὸ* $\overline{ΒΗ}$ A²BS (sed in B *τὰ* ex *τὸ* correctum esse videtur) 24. *ζ'* add. BS 28. *παραβολή* ABS, corr. *Hu*



Ducatur enim perpendicularis $\gamma\delta$, et fiat $\frac{\zeta\beta}{\beta\delta} = \frac{\alpha\beta}{\beta\eta}$, et $\frac{\varepsilon\delta}{\delta\beta} = \frac{\alpha\vartheta}{\vartheta\beta}$, ita ut sit[2]) $\frac{\delta\eta}{\alpha\zeta} = \frac{\eta\beta}{\beta\alpha} = \frac{\tau\sigma}{\sigma\upsilon}$, et $\frac{\vartheta\delta}{\alpha\varepsilon} = \frac{\tau\sigma}{\sigma\varrho}$ (hoc enim in analysi demonstratum est), ita ut *per formulam compositae proportionis* sit

$$\frac{\vartheta\delta\cdot\delta\eta}{\zeta\alpha\cdot\alpha\varepsilon} = \frac{\tau\sigma}{\sigma\upsilon}\cdot\frac{\tau\sigma}{\sigma\varrho}.$$

Sed quia *ex constructione* $\vartheta\delta\cdot\delta\eta$ ad $\delta\gamma^2$ proportionem habet compositam e proportione $\tau\sigma : \sigma\upsilon$ et $\tau\sigma : \sigma\varrho$ et illà quae data est, id est $\varrho\tau^2 : \tau\sigma^2$, et *quia* est

$$\frac{\vartheta\delta\cdot\delta\eta}{\delta\gamma^2} = \frac{\vartheta\delta\cdot\delta\eta}{\zeta\alpha\cdot\alpha\varepsilon}\cdot\frac{\zeta\alpha\cdot\alpha\varepsilon}{\delta\gamma^2},\ \text{et}\ \frac{\vartheta\delta\cdot\delta\eta}{\zeta\alpha\cdot\alpha\varepsilon} = \frac{\tau\sigma}{\sigma\upsilon}\cdot\frac{\tau\sigma}{\sigma\varrho},$$

divisione igitur *facta* restat

$$\frac{\zeta\alpha\cdot\alpha\varepsilon}{\delta\gamma^2} = \frac{\varrho\tau^2}{\tau\sigma^2} = \frac{\varepsilon\delta^2}{\delta\beta^2},\ \text{et}\ \frac{\zeta\alpha\cdot\alpha\varepsilon + \varepsilon\delta^2}{\delta\gamma^2 + \delta\beta^2} = \frac{\varrho\tau^2}{\tau\sigma^2};\ \text{ergo est}$$

$$\frac{\alpha\delta^2}{\gamma\delta^2 + \delta\beta^2} = \frac{\varrho\tau^2}{\tau\sigma^2};\ \text{et est}\ \frac{\varrho\tau^2}{\tau\sigma^2}\ \text{data proportio,}$$

itaque linea $\vartheta\varkappa$, quae est pars *conicae* sectionis, locum efficit.

V. Haec cum ita se habeant, transibimus ad id quod ab Prop. 238
initio propositum erat. Sit recta $\alpha\beta$ positione *data*, et in eodem plano datum punctum γ, et ducatur $\delta\gamma$, ac *datae rectae* $\alpha\beta$ perpendicularis recta $\delta\varepsilon$, sitque *data* proportio $\gamma\delta : \delta\varepsilon$: dico punctum δ coni sectionem tangere, et quidem, si proportio sit *magnitudinis* aequalis ad aequalem, parabolam, sin

2) Hinc rursus conf. append.

ἐλάσσων πρὸς μείζονα, ἐλλείψεως, ἐὰν δὲ μείζων πρὸς ἐλάσσονα, ὑπερβολῆς.

Ἔστω γὰρ πρότερον ὁ λόγος ἴσος πρὸς ἴσον, τουτέστιν ἔστω πρότερον ἴση ἡ ΓΔ τῇ ΔΕ· δεῖξαι ὅτι τὸ Δ ἅπτεται παραβολῆς.

Ἤχθω κάθετος ἡ ΓΖ (θέσει ἄρα ἐστί), τῇ δὲ ΑΒ παράλληλος ἡ ΔΗ. καὶ ἐπεὶ τὸ ἀπὸ ΕΔ ἴσον τῷ ἀπὸ ΔΓ, ἴση δὲ ἡ μὲν ΕΔ τῇ ΖΗ, τὸ δὲ ἀπὸ ΔΓ ἴσον τοῖς ἀπὸ ΔΗ ΗΓ, τὸ ἄρα ἀπὸ ΖΗ ἴσον ἐστὶ τοῖς ἀπὸ ΔΗ ΗΓ. καὶ ἔστιν θέσει ἡ ΖΓ, καὶ δύο δοθέντα τὰ Ζ Γ· τὸ Δ ἄρα ἅπτεται παραβολῆς· τοῦτο γὰρ προδέδεικται.

η΄. Συντεθήσεται δὴ οὕτως. ἔστω ἡ τῇ θέσει ἡ ΑΒ, τὸ δὲ δοθὲν τὸ Γ, καὶ ἤχθω κάθετος ἡ ΓΖ, καὶ θέσει οὔσης τῆς ΓΖ καὶ δύο δοθέντων τῶν Ζ Γ, εὑρήσθω παραβολὴ ἡ ΔΘ, ὥστε, οἷον ἐὰν ληφθῇ σημεῖον ὡς τὸ Δ, ἀχθῇ δὲ κάθετος ἡ ΔΗ, ἴσον ἐστὶν τὸ ἀπὸ ΖΗ τοῖς ἀπὸ ΔΗ ΗΓ· λέγω ὅτι ἡ ΔΘ γραμμὴ ποιεῖ τὸν τόπον, τουτέστιν, οἷα τις ἂν διαχθῇ ὡς ἡ ΓΔ καὶ κάθετος ἡ ΔΕ, ἴση ἐστὶν ἡ ΓΔ τῇ ΔΕ.

Ἤχθω κάθετος ἡ ΔΗ· διὰ ἄρα τῆς παραβολῆς ἴσον ἐστὶν τὸ ἀπὸ ΖΗ τοῖς ἀπὸ ΔΗ ΗΓ. καὶ ἔστιν τῇ μὲν ΖΗ ἴση ἡ ΕΔ, τοῖς δὲ ἀπὸ ΔΗ ΗΓ ἴσον τὸ ἀπὸ ΔΓ· τὸ ἄρα ἀπὸ ΔΓ ἴσον ἐστὶν τῷ ἀπὸ ΔΕ· ἴση ἄρα ἐστὶν ἡ ΓΔ τῇ ΔΕ· ἡ ἄρα ΔΘ γραμμὴ ποιεῖ τὸν τόπον.

* * *

---

1. *ἐλάσσων* BS, *ελασσον* (sine spir. et acc.) A *ελλείπει* A(B), *ἔλλειψις* S, corr. *Hu* 2. *ὑπερβολή* ABS, corr. *Hu* 3. *γὰρ Hu*, *τῶν* AB, om. S 6. *ἐστὶ* A*BS, item vs. 9 9. *ἀπὸ ΔΗΓ* (ante *καὶ*) ABS, corr. *Co* (conf. initium vs. 9) 12. *η΄* add. BS 14. *τῶν ΖΓ* A, distinx. BS 16. 17. *ἀπὸ ΔΗΓ* ABS, corr. *Co*, item vs. 21. 22 17. *ποιεῖ* add. *Ge* auctore *Co* 18. *οἷα τις ἂν*] *οἷά τις ἐὰν* A*BS, corr. *Hu* (nisi forte *οἷον ἄν τις* restituendum) *ὡς ἡ ΓΔ* AB, *ὡς ἡ γζ* S 20. *διὰ* A rec. ex *δ*** 20. 21. *ἴσον ἐστὶν τὸ Hu* pro *ἴση ἐστὶν παράλληλος* 24. post *γραμμὴ* add. *τομὴν* ABS, *quae est pars sectionis Co* (hic igitur voluit *τουτέστιν μέρος τῆς τομῆς*) post *τόπον* ultimam demonstrationis partem desiderari non fugit Commandinum; finem libri significat A[3] hunc in modum: *παππ̄ ἀλεξαν̄ συναγωγ̄ Ζ ō ἡ εχει ī τάξ κī περιō*

minoris ad maiorem, ellipsim, sin maioris ad minorem, hyperbolam.

Sit enim primum proportio aequalis ad aequale, id est, sit primum $\gamma\delta = \delta\varepsilon$; demonstretur punctum δ tangere parabolam.



Ducatur *rectae* $\alpha\beta$ perpendicularis $\gamma\zeta$ (haec igitur *propter dat. 30* positione *data* est), et rectae $\alpha\beta$ parallela $\delta\eta$. Et quia *ex hypothesi* est $\varepsilon\delta^2 = \delta\gamma^2$, et *ex constructione* $\varepsilon\delta = \zeta\eta$, atque $\delta\gamma^2 = \delta\eta^2 + \eta\gamma^2$, est igitur $\zeta\eta^2 = \delta\eta^2 + \eta\gamma^2$. Et est positione *data* $\zeta\gamma$, et data duo puncta $\zeta\,\gamma$; ergo punctum δ parabolam tangit; id enim supra (*lemm. III*) demonstratum est.

Componetur sic. Sit recta positione *data* $\alpha\beta$, et datum punctum γ, et ducatur *rectae* $\alpha\beta$ perpendicularis $\gamma\zeta$, et cum $\gamma\zeta$ positione ac duo puncta $\zeta\,\gamma$ data sint, inveniatur parabola $\delta\vartheta$, ita ut, si *in ea* quodvis punctum δ sumatur, ac perpendicularis $\delta\eta$ ducatur, sit $\zeta\eta^2 = \delta\eta^2 + \eta\gamma^2$; dico lineam $\delta\vartheta$ locum efficere, id est, si quaevis $\gamma\delta$ et perpendicularis $\delta\varepsilon$ ducatur, esse $\gamma\delta = \delta\varepsilon$.

Ducatur perpendicularis $\delta\eta$; ergo propter parabolae *constructionem* est $\zeta\eta^2 = \delta\eta^2 + \eta\gamma^2$. Et *ex constructione* est $\zeta\eta = \varepsilon\delta$, et $\delta\eta^2 + \eta\gamma^2 = \delta\gamma^2$; ergo est $\varepsilon\delta^2 = \delta\gamma^2$, itaque $\gamma\delta = \delta\varepsilon$; ergo linea $\delta\vartheta$ locum efficit[1].

* * *

1) Extremam demonstrationis partem in codice deperditam supplevit Commandinus: vide append.

---

x τα λημμα̂ ᵒᵘ αναλυομεν̂ τοπ̂, id est, ut in S legitur: *πάππου ἀλεξανδρέως συναγωγῆς ζ' ὃ περιέχει τὴν τάξιν καὶ τὴν περιοχὴν καὶ τὰ λήμματα τοῦ ἀναλυομένου τόπου*, haec omnia om. A[1]B

Λῆμμα τοῦ ἀναλυομένου.

319 Ἔστω τρίγωνον ὀρθογώνιον τὸ *ΑΒΓ*, ὀρθὴν ἔχον τὴν ὑπὸ *ΑΒΓ* γωνίαν, καὶ ἔστω ὡς ἡ *ΑΒ* πρὸς *ΒΓ*, οὕτως ἡ *ΑΖ* πρὸς τὴν *ΖΒ* καὶ ἡ *ΒΗ* πρὸς *ΗΓ*, καὶ ἐπεζεύχθωσαν αἱ *ΑΕΗ ΓΕΖ ΒΕΔ*· ὅτι ἡ *ΒΔ* κάθετός ἐστιν ἐπὶ τὴν *ΑΓ*.

Ἐπεὶ ὡς ἡ *ΑΒ* πρὸς *ΒΓ*, ἡ *ΑΖ* πρὸς *ΖΒ*, καὶ ἡ *ΒΗ* πρὸς *ΗΓ*, ὡς ἄρα ἡ *ΑΖ* πρὸς *ΒΖ*, ἡ *ΒΗ* πρὸς *ΗΓ*. συνθέντι καὶ ἐναλλὰξ ὡς ἡ *ΑΒ* πρὸς *ΒΓ*, ἡ *ΖΒ* πρὸς *ΗΓ*. ἀλλ' ὡς ἡ *ΑΒ* πρὸς *ΒΓ*, ἡ *ΒΗ* πρὸς *ΗΓ*· ὡς ἄρα ἡ *ΖΒ* πρὸς *ΗΓ*, ἡ *ΒΗ* πρὸς *ΗΓ*· ἴση ἄρα ἡ *ΖΒ* τῇ *ΒΗ*. (ὥστε ἐπιζευχθείσης τῆς *ΖΗ* καὶ γωνία ἡ ὑπὸ *ΒΖΘ* τῇ ὑπὸ *ΒΗΘ* ἐστὶν ἴση. καὶ μείζων ἡ *ΖΘ* εὐθεῖα τῆς *ΘΗ*· ἐὰν γὰρ διὰ τοῦ *Η* τῇ *ΑΓ* παράλληλον ἀγάγωμεν τὴν *ΗΙΚ*, ἡ ὑπὸ *ΒΘΗ* γωνία ταῖς ἀπεναντίον ὑπὸ *ΘΗΙ ΘΙΗ* ἴση οὖσα μείζων ἐστὶν τῆς ὑπὸ *ΗΘΙ*, τουτέστι τῆς ὑπὸ *ΖΒΘ* ὀξείας, ὥστε καὶ λοιπὴν τὴν ὑπὸ *ΗΒΘ* ἐλάσσονα γίνεσθαι τῆς ὑπὸ *ΖΒΘ*. δίχα ἡ *ΖΗ* τῷ *Λ*· ὁ ἄρα κέντρῳ τῷ *Λ* διαστήματι δὲ ἑνὶ τῶν *ΛΖ ΛΒ ΛΗ* γραφόμενος κύκλος ἥξει καὶ διὰ τοῦ *Δ*, καὶ ἔσται ἐν κύκλῳ τὸ *ΔΖΒΗ* τετράπλευρον (τοῦτο γὰρ ἑξῆς). ἴση ἐστὶν ἡ ὑπὸ *ΒΔΖ* γωνία τῇ ὑπὸ *ΒΔΗ*, καὶ ἔστιν ἑκατέρα ἡμίσεια ὀρθῆς (καὶ γὰρ ἑκατέρα τῶν ὑπὸ

1. cap. 319—321 om. *Co*, quae quidem omnia misere turbata esse apparet; nam postquam capitis 319 propositio ab inepto quodam scriptore falso demonstrari coepta est, genuina et recta demonstratio paene tota periit, quam alius quidem scriptor isque bene eruditus cap. 321 breviter adumbravit analytica ratione; praemisit autem lemma quoddam (cap. 320), quod iam initio primae demonstrationis (vs. 6—10) exstat 6. 7. ἡ *ΑΒ* πρὸς *ΒΓ* — ὡς ἄρα omisimus in versione Latina, eademque malimus abesse a Graeco contextu 6. οὕτως ante ἡ *ΑΖ*, idemque posthac ante ἡ *ΒΗ* etc. add. *Ge* 10. ὥστε ἐπιζευχθείσης — 12. ἐστὶν ἴση nullam per se suspicionem movent; at tamen ab his ipsis incipit demonstratio manifesto corrupta; nam rectam *ζϑ* maiorem esse quam *ϑη* neque ea quam legimus ratione demonstrari potest neque tres illos qui statui possunt casus perspexit scriptor, scilicet aut esse $\alpha\beta > \beta\gamma$ (unde sequitur $\zeta\vartheta > \vartheta\eta$) aut $= \beta\gamma$ aut $< \beta\gamma$; denique *ι* nota geometrica aliena est ab antiquis Graecis scriptoribus 18. τῶν (ante *ΛΖ*) B, om. A*S 19. ἐν om. AB, add. S 20. τῆι ὑπὸ *ΖΔΗ* καὶ AS, corr. B

LEMMA LOCI ANALYTICI.

1. Sit triangulum orthogonium $\alpha\beta\gamma$, rectum angulum $\alpha\beta\gamma$ habens, sitque $\alpha\beta : \beta\gamma = \alpha\zeta : \zeta\beta = \beta\eta : \eta\gamma$, iunganturque rectae $\alpha\varepsilon\eta$ $\gamma\varepsilon\zeta$ $\beta\varepsilon\delta$; dico $\beta\delta$ perpendicularem esse rectae $\alpha\gamma$.



Quoniam est

$\alpha\zeta : \zeta\beta = \beta\eta : \eta\gamma$, componendo est

$\alpha\beta : \zeta\beta = \beta\gamma : \eta\gamma$, et vicissim

$\alpha\beta : \beta\gamma = \zeta\beta : \eta\gamma$. Sed *erat* $\alpha\beta : \beta\gamma = \beta\eta : \eta\gamma$: ergo

$\zeta\beta : \eta\gamma = \beta\eta : \eta\gamma$; itaque

$\zeta\beta = \beta\eta$.

[Ergo iunctà rectà $\zeta\vartheta\eta$ est etiam $\angle\, \beta\zeta\vartheta = \angle\, \beta\eta\vartheta$. Estque recta $\zeta\vartheta > \vartheta\eta$; nam si per η rectae $\alpha\gamma$ parallelam ducamus rectam $\eta\iota\kappa$, angulus $\beta\vartheta\eta$, quippe qui aequalis sit summae oppositorum angulorum $\vartheta\eta\iota + \vartheta\iota\eta$, maior (?) est quam $\eta\vartheta\iota$, id est quam angulus $\zeta\beta\vartheta$ acutus (*an forte* $\zeta\vartheta\beta$?), ita ut etiam reliquus angulus $\eta\beta\vartheta$ minor sit quam $\zeta\beta\vartheta$. Bifariam *secetur* recta $\zeta\eta$ puncto λ; ergo *est* $\beta\lambda = \zeta\lambda = \eta\lambda$, *et* circulus, cuius centrum est λ radiusque $\lambda\beta$, transibit etiam per punctum δ, et quadrilaterum $\delta\zeta\beta\eta$ circulo inscriptum erit (id enim deinceps *demonstrabitur*). Aequales inter se sunt anguli $\beta\delta\zeta$ $\beta\delta\eta$ (*est enim* $\angle\, \beta\delta\zeta = \angle\, \beta\eta\zeta$, *et* $\angle\, \beta\delta\eta = \angle\, \beta\zeta\eta$); et est uterque dimidius rectus (nam etiam singuli $\beta\eta\zeta$ $\beta\zeta\eta$

ΒΗΖ ΒΖΗ ἡμίσειά ἐστιν ὀρθῆς. καὶ ὀρθὴ ἡ ὑπὸ *ΖΔΗ*· λέγω οὖν ὅτι ἡ ὑπὸ *ΑΔΒ* ὀρθή ἐστιν. εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων ὀρθῆς. ἔστω πρότερον μείζων ὀρθῆς, καὶ ἔστω ὀρθὴ ἡ ὑπὸ *ΒΔΜ*, τῶν *ΗΓ ΜΔ* ἐκβληθεισῶν καὶ συμπιπτουσῶν κατὰ τὸ *Ν*. ἐπεὶ οὖν τὸ *ΜΒΔ* τρίγωνον ὀρθογώνιον ὅμοιόν ἐστιν τῷ *ΜΒΝ* τριγώνῳ ὀρθογωνίῳ, καὶ ἔστιν ἡμίσεια ὀρθῆς ἑκατέρα τῶν ὑπὸ *ΒΔΖ ΖΔΜ*, ὡς ἄρα ἡ *ΜΖ* πρὸς *ΖΒ*, ἡ *ΜΔ* πρὸς *ΔΒ*. ἀλλ' ὡς ἡ *ΜΔ* πρὸς *ΔΒ*, ἡ *ΒΔ* πρὸς *ΔΝ*, τουτέστιν ἡ *ΒΗ* πρὸς *ΗΝ* (δίχα γὰρ τέτμηται καὶ ἡ ὑπὸ *ΒΔΝ* γωνία τῇ *ΔΗ*)· ὡς ἄρα ἡ *ΜΖ* πρὸς *ΖΒ*, ἡ *ΒΗ* πρὸς *ΗΝ*. πάλιν ἐπεί, ὡς ἡ *ΑΖ* πρὸς *ΖΒ*, ἡ *ΒΗ* πρὸς *ΗΓ* ὑπόκειται, ἡ *ΜΖ* ἄρα πρὸς *ΖΒ* ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ *ΒΗ* πρὸς *ΗΝ*, ὅπερ ἀδύνατον· ἐδείχθη γὰρ ὡς ἡ *ΜΖ* πρὸς *ΖΒ*, ἡ *ΒΗ* πρὸς *ΗΝ*· οὐκ ἄρα μείζων ἐστὶν ὀρθῆς ἡ ὑπὸ *ΒΔΑ* γωνία. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἐλάσσων ἐστὶν ὀρθῆς ἡ ὑπὸ *ΑΔΒ*, διὰ τοῦ *Δ* τῇ *ΔΒ* πρὸς ὀρθὰς ἀγαγόντες τὴν *ΞΔΟ*· ἔσται γὰρ πάλιν ὡς ἡ *ΞΖ* πρὸς *ΖΒ*, ἡ *ΒΗ* πρὸς *ΗΟ*, καὶ δειχθήσεται ἡ *ΑΖ* πρὸς *ΖΒ* πολλῷ ἐλάσσονα λόγον ἔχουσα ἤπερ ἡ *ΒΗ* πρὸς *ΗΓ*, ὅπερ ἀδύνατον· ὑπόκειται γὰρ ὡς ἡ *ΑΖ* πρὸς *ΖΒ*, ἡ *ΒΗ* πρὸς *ΗΓ*.

320 Ἔστω ὡς ἡ *ΑΒ* πρὸς *ΒΓ*, ἡ *ΑΖ* πρὸς *ΖΒ* καὶ ἡ *ΒΗ* πρὸς *ΗΓ*· ὅτι ἴση ἐστὶν ἡ *ΖΒ* τῇ *ΒΗ*.

Ἐπεί ἐστιν ὡς ἡ *ΑΖ* πρὸς *ΖΒ*, ἡ *ΒΗ* πρὸς *ΗΓ*, συνθέντι καὶ ἐναλλὰξ ὡς ἡ *ΑΒ* πρὸς *ΒΓ*, τουτέστιν ὡς ἡ *ΒΗ* πρὸς *ΗΓ*, ἡ *ΖΒ* πρὸς *ΗΓ*· ἴση ἄρα ἡ *ΖΒ* τῇ *ΒΗ*.

321 Τρίγωνον ὀρθογώνιον τὸ *ΑΒΓ*, ὀρθὴ ἡ *Β*, καὶ ἔστω ὡς ἡ *ΑΒ* πρὸς *ΒΓ*, ἡ *ΑΖ* πρὸς *ΖΒ* καὶ ἡ *ΒΗ* πρὸς *ΗΓ*, καὶ ἐπεζεύχθωσαν αἱ *ΓΕΖ ΑΕΗ ΒΕΔ*· ὅτι ἡ *ΒΔ* κάθετός ἐστιν ἐπὶ τὴν *ΑΓ*.

Γεγονέτω· ὅμοια ἄρα τὰ *ΑΒΔ ΒΔΓ* τρίγωνα τῷ ὅλῳ *ΑΒΓ* καὶ ἀλλήλοις· ὡς ἄρα ἡ *ΑΒ* πρὸς *ΒΓ*, τουτέστιν ἡ

---

1. ἡμιἐστιν A, corr. BS 6. *ΜΒΝ* τριγώνων A, corr. BS 9. ἡ *ΜΔ* πρὸς *ΔΒ* post ἀλλ' ὡς] bis scripta in A ἡ *ΒΔ* *Hu* pro ἡ *ΜΔ* 10. γωνία τῆι *ΒΗ* AB, corr. S 17. τὴν *ΞΔΟ*] τῶν *ΔΞΟ* AB, τὴν corr. S, alterum *Hu* 18. πρὸς *ΖΒ* *Hu* pro πρὸς *ΖΘ*

dimidii recti sunt. Et rectus est (*ut in semicirculo*) angulus $\zeta\delta\eta$; iam dico angulum $\alpha\delta\beta$ rectum esse. Nam si non *rectus sit*, aut maior aut minor est recto. Sit prius maior recto; et sit rectus $\beta\delta\mu$, productis rectis $\eta\gamma$ $\mu\delta$ et concurrentibus in puncto ν. Iam quia triangulum orthogonium $\mu\delta\beta$ triangulo orthogonio $\mu\beta\nu$ simile est, et singuli $\beta\delta\zeta$ $\zeta\delta\mu$ dimidii recti sunt (*nam demonstravimus angulum $\beta\delta\zeta$ dimidium rectum esse; ergo ex hypothesi alter dimidius est $\zeta\delta\mu$*), est igitur (*propter elem. 6, 3*) $\mu\zeta : \zeta\beta = \mu\delta : \delta\beta$. Sed est $\mu\delta : \delta\beta = \delta\beta : \delta\nu$, id est $= \beta\eta : \eta\nu$ (nam etiam angulus $\beta\delta\nu$ rectà $\delta\eta$ bifariam sectus est); ergo $\mu\zeta : \zeta\beta = \beta\eta : \eta\nu$. Rursus quia ex hypothesi est $\alpha\zeta : \zeta\beta = \beta\eta : \eta\gamma$, est igitur $\mu\zeta : \zeta\beta < \beta\eta : \eta\nu$, quod quidem fieri non potest; nam demonstravimus esse $\mu\zeta : \zeta\beta = \beta\eta : \eta\nu$; ergo angulus $\beta\delta\alpha$ non maior est recto. Similiter demonstrabimus eundem non minorem recto esse, postquam per δ rectae $\delta\beta$ perpendicularem $\xi\delta o$ duxerimus; nam rursus erit $\xi\zeta : \zeta\beta = \beta\eta : \eta o$, unde efficietur esse $\alpha\zeta : \zeta\beta < \beta\eta : \eta o$, multoque $\alpha\zeta : \zeta\beta < \beta\eta : \eta\gamma$, quod quidem fieri non potest: nam ex hypothesi est $\alpha\zeta : \zeta\beta = \beta\eta : \eta\gamma$.

II. Sit $\alpha\beta : \beta\gamma = \alpha\zeta : \zeta\beta = \beta\eta : \eta\gamma$; dico esse $\zeta\beta = \beta\eta$. Quoniam est

$\alpha\zeta : \zeta\beta = \beta\eta : \eta\gamma$, componendo est
$\alpha\beta : \zeta\beta = \beta\gamma : \eta\gamma$, et vicissim
$\alpha\beta : \beta\gamma = \zeta\beta : \eta\gamma$, id est
$\beta\eta : \eta\gamma = \zeta\beta : \eta\gamma$; ergo $\zeta\beta = \beta\eta$.

III. *Sit* triangulum orthogonium $\alpha\beta\gamma$, cuius rectus angulus β, et sit $\alpha\beta : \beta\gamma = \alpha\zeta : \zeta\beta = \beta\eta : \eta\gamma$, et iungantur $\gamma\varepsilon\zeta$ $\alpha\varepsilon\eta$ $\beta\varepsilon\delta$: dico $\beta\delta$ rectae $\alpha\gamma$ perpendicularem esse.



Factum iam sit: ergo triangula $\alpha\delta\beta$ $\beta\delta\gamma$ et toti $\alpha\beta\gamma$ et sibi invicem similia sunt; ergo $\alpha\beta : \beta\gamma$,

19. δειχθήσεται add. Hu   ἡ $\overline{AZ}$ πρὸς $\overline{ZB}$ A rec. ex ἡ A* πρὸς **
21. τῷ ὅλῳ] ὅλῳ τε τῷ coni. Hu

ΑΖ πρὸς ΖΒ, οὕτως ἡ ΑΔ πρὸς ΔΒ· ἡ ἄρα ὑπὸ ΑΔΒ γωνία δίχα τέτμηται ὑπὸ τῆς ΖΔ, ἡμίσεια ἄρα ὀρθῆς ἐστιν ἡ ὑπὸ ΖΔΒ. διὰ ταὐτὰ δὴ καὶ ἡ ὑπὸ ΒΔΓ δίχα τέτμηται ὑπὸ τῆς ΔΗ· ἡμίσεια ἄρα ὀρθῆς ἡ ὑπὸ ΒΔΗ· ὀρθὴ ἄρα ἡ ὑπὸ ΖΔΗ. ὀρθὴ δὲ καὶ ἡ ὑπὸ ΖΒΗ· ἐν κύκλῳ ἄρα τὸ ΒΖΔΗ τετράπλευρον. καὶ ἔστιν ἡ ὑπὸ ΖΔΒ τῇ ὑπὸ ΒΔΗ ἴση· ἴση ἄρα καὶ ἡ ΖΒ τῇ ΒΗ. [ἔστιν δὲ διὰ τὸ προδειχθέν.]

* * *

id est $\alpha\zeta : \zeta\beta = \alpha\delta : \delta\beta$; ergo angulus $\alpha\delta\beta$ rectâ $\zeta\delta$ bifariam sectus est (*elem.* 6, 3), itaque angulus $\zeta\delta\beta$ dimidius rectus est. Eadem ratione etiam angulus $\beta\delta\gamma$ rectâ $\delta\eta$ bifariam sectus est; ergo angulus $\beta\delta\eta$ dimidius rectus, itaque *totus* angulus $\zeta\delta\eta$ rectus est. Sed etiam angulus $\zeta\beta\eta$ rectus; ergo circulo inscriptum est quadrilaterum $\beta\zeta\delta\eta$. Et est angulus $\zeta\delta\beta$ angulo $\beta\delta\eta$ aequalis; ergo etiam (*propter elem.* 3, 26. 29) est $\zeta\beta = \beta\eta$. [Est vero propter id quod supra demonstravimus.]

* * *

---

3. ἡ (ante ὑπὸ ΖΔΒ) add. BS   διὰ ταῦτα A²BS, corr. *Hu*   6. τὸ ΒΔΖΗ ABS, corr. *Hu*   7. sub finem periit synthesis problematis   8. post προδειχθέν add. B: *Τέλος τοῦ ἑβδόμου τῆς πάππου τοῦ ἀλεξ συναγωγῆς ὃ περιέχει τὴν τάξιν καὶ τὴν περιοχὴν καὶ τὰ λήμματα τοῦ ἀναλυομένου τόπου*, S: *Ἑβδόμου βιβλίου τέλος*

Typis expresserunt Breitkopf et Härtel Lipsienses.